This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Gc
21
5

VE RI TAS

Harvard College Library

FROM

The University
of Jena.

5 Feb. 1889.

BC 21.5

ΧΡΥΣΙΠΠΟΣ ΓΡΑΜΜΑΤΙΚΌΣ

DISSERTATIO PHILOLOGICA

QUAM SCRIPSIT

AD SUMMOS IN PHILOSOPHIA HONORES

AB AMPLISSIMO

PHILOSOPHORUM IENENSIUM ORDINE

RITE IMPETRANDOS

CHRISTOS ARONIS

SMYRNAEUS

IENAE

TYPIS FROMMANNI (H. POHLE)

MDCCCLXXXV

Gc 21.5

HARVARD COLLEGE
FEB 5 1889
LIBRARY.

University of Iowa.

ΤΩι ΣΕΒΑΣΤΩι ΜΟΙ ΠΑΤΡΙ

ΑΝΑΤΙΘΕΤΑΙ.

Βίος Χρυσίππου.

Χρύσιππος ὁ Στωϊκὸς ἦν υἱὸς Ἀπολλωνίου [1]) *τοῦ Ταρσέως ἐκεῖθεν εἰς Σόλους μετοικήσαντος οὗ καὶ Χρύσιππος ἐγεννήθη* (281 *π. Χ.*) [2]). *Τινὲς αὐτὸν Ταρσέα* [3]) *ἀποκαλοῦσι φανερῶς ἐκ τῆς τοῦ πατρὸς αὐτοῦ γενεθλίου πόλεως καὶ προτέρας διαμονῆς. Διογένης ὁ Λαέρτιος ἐν τῷ τοῦ Χρυσίππου βίῳ* [4]) *οὐ λέγει καθαρῶς ἡμῖν τὴν περὶ τούτου γνώμην του, Σουΐδας δὲ νῦν μὲν αὐτὸν Ταρσέα* [5]) *νῦν δὲ Σολέα* [6]) *ἀποκαλεῖ. Τῆς πατρικῆς οὐσίας δημευθείσης ὁ Χρύσιππος εἰς Ἀθήνας ἀπῆλθεν* [7]). *Ἡ τοῦ* Petersen [8]) *περὶ ὑπερορίας τοῦ Χρυσίππου γνώμη οὐ δοκεῖ μοι πιθανή, τοῦτο δ' ἐπὶ ἀρχαίαις μαρτυρίαις ἐπερειδόμενος λέγω. Παρὰ Πλουτάρχῳ* [9]) *ἀναγιγνώσκομεν „Εἰ δὲ φήσει τις ὅτι δόξαν οὗτοι καὶ τιμὰς*

---

1) *Στραβ. ΙΓ'*, 671 — *Σουΐδας γλ. „Χρύσιππος" τὸν πατέρα αὐτοῦ Ἀπολλωνίδην καλεῖ.*

2) *Διογ. Λαέρτ. Ζ, ζ*, 184.

3) *Σολέα καλοῦσιν αὐτὸν ἔτι Στραβ. ΙΓ'*, 610. 671. *Παυσανίας Α'*, 17. 2. *Πλούταρχος περὶ φυγῆς σελ.* 731. *ἐκδ.* Duebner.

4) *Δ. Λ. Ζ, ζ*, 179.

5) *γλ. Ζήνων.*

6) *γλ. Κλεάνθης.*

7) *Δ. Λ. Ζ, ζ*, 181.

8) Ersch. u. Gruber, Encycl. 1. Sect. XXI *σελ.* 212.

9) *Πλουτ. Περὶ φυγῆς σελ.* 731 (Duebner).

ἐθήρευον, ἐπὶ τοὺς σοφοὺς ἐλθὲ, καὶ τὰς σοφὰς Ἀθήνησι σχολὰς καὶ διατριβὰς, ἀναπέμπασαι τὰς ἐν Λυκείῳ, τὰς ἐν Ἀκαδημίᾳ, τὴν στοὰν, τὸ Παλλάδιον, τὸ ᾠδεῖον. εἰ τὴν περιπατητικὴν ἀσπάζῃ μάλιστα καὶ τεθαύμακας, Ἀριστοτέλης ἦν ἐκ Σταγείρων, Θεόφραστος ἐξ Ἐρεσσοῦ . . . . . εἰ τὴν Στωϊκὴν, Ζήνων Κιτιεύς· Κλεάνθης, Ἄσσιος· Χρύσιππος, Σολεὺς . . . . . τίς οὖν τούτους ἐδίωξεν; οὐδείς· ἀλλ' αὐτοὶ διώκοντες ἡσυχίαν, ἧς οὐ πάνυ μέτεστιν οἴκοι τοῖς ἡντιναοῦν δόξαν, ἢ δύναμιν ἔχουσι, τὰ μὲν ἄλλα λόγοις, τοῦτο δ' ἔργοις ἡμῖν διδάσκουσι [1]).“ Παρὰ δὲ Δίωνι τῷ Χρυσοστόμῳ [2]). „Ὡς ἐγὼ πρότερον ἐθαύμαζον τῶν φιλοσόφων τοὺς καταλιπόντας μὲν τὰς αὐτῶν πατρίδας οὐδενὸς ἀναγκάζοντος, παρ' ἄλλοις δὲ ζῆν ἑλομένους . . . . . λέγω δὲ τὸν Ζήνωνα, τὸν Χρύσιππον, τὸν Κλεάνθην.“ —

Εἰς Ἀθήνας ἐλθὼν ἐπὶ τὴν φιλοσοφίαν ἐτράπη [3]) καὶ δὴ μαθητὴς Κλεάνθους ἐγένετο· κατά τινας Ζήνωνος, ὅπερ πάνυ ἀβέβαιον. ἐν γὰρ τῇ παρὰ Διογένει τῷ Λαερτίῳ ἀπαριθμήσει τῶν Ζήνωνος μαθητῶν οὐκ ἀπαντᾷ Χρύσιππος [4]).

---

1) Πλουτ. περὶ στωϊκῶν ἐναντ. 1264, 20· „Τίς οὖν μᾶλλον ἐν τῷ σχολαστικῷ βίῳ τούτῳ κατεγήρασεν, ἢ Χρύσιππος, καὶ Κλεάνθης, καὶ Διογένης, καὶ Ζήνων, καὶ Ἀντίπατρος; οἵ γε καὶ τὰς αὐτῶν κατέλιπον πατρίδας οὐδὲν ἐγκαλοῦντες, ἀλλ' ὅπως καθ' ἡσυχίαν ἐν τῷ ἡδίονι καὶ ἐπὶ ζωστῆρος σχολάζοντες καὶ φιλολογοῦντες διάγωσιν.“

2) Δίων Χρυσόστ. Β', 129, 20 κἑ Dindorf.

3) Διογένης Λαέρτιος Ζ, ζ, 179 λέγει ὅτι Χρύσιππος δόλιχον πρὸ τοῦ ἐπὶ τὴν φιλοσοφίαν τραπῆναι ἤσκει. Τοῦθ' ὅμως οὐχ ἵνα τὰ πρὸς τὸν βίον πορίζηται ἔπραττεν, ἀλλὰ πρὸς ἰδίαν τέρψιν, ὡς ὀρθῶς ὁ Petersen ὑποδείκνυσιν. ἀν. χωρ. σ. 210.

4) Δ. Λ. Ζ, α, 36. 38.

Τοῖς πλείστοις ἑπομένους δεῖ ἡμᾶς παραδέχεσθαι Χρύσιππον, Κλεάνθους μαθητὴν γεγονέναι, ὡς καὶ Γαληνὸς[1]) *ῥητῶς ἡμῖν λέγει* „*Χρύσιππος μαθητὴς Κλεάνθους καὶ οὐχὶ Ζήνωνος . . . . . τούτου δὲ (Ἀντισθένους τοῦ Κυνικοῦ) Ζήνων ὁ Κιτιεὺς ἀκήκοεν, ὅς καὶ τὴν Στωϊκὴν φιλοσοφίαν ἐξεῦρεν. οὗ μετειλήφει τῶν λόγων Κλεάνθης. Καὶ τούτου Χρύσιππος ἀκροώμενος τὴν ὁμοίαν ἀγωγὴν μετῆλθε.*"

Ἐσφαλμένως ὁ Boeckh *τὰ ἐν τοῖς Προλεγομένοις εἰς τὰ τῆς Ἰλιάδος Σχόλια ὑπὸ* Villoison *γραφέντα ἀναγνώσας τὰ ἑξῆς ἐν τῷ Προοιμίῳ τῶν Πινδαρικῶν Σχολίων*[2]) *παρατίθεται* „Chrysippus Stoicus Solensis, Zenodoti Ephesii, Callimachi et Eratosthenis discipulus, Aristarchi magister, qui vixit sub Ptolemaeis Euergeta et Philopatore." *Νῦν καὶ τὰ τοῦ* Villoison[3]) *παρατεθήσομαι, ὅπως ἕκαστος τὸ παρόραμα ἐνίδῃ.* „Sic et Chrysippus laudatur ad Iliad. Θ. V. 441. Aristarchi magister, et Zenodoti Ephesii, Callimachi atque Eratosthenis discipulus, Aristophanes Byzantius, sub Ptolemaeo Philadelpho Alexandrinae Bibliothecae praefectus." *Τὴν μετὰ τὸ Θ.* V. 441 *τελείαν στιγμὴν παριδὼν ὁ* Boeckh *τὰ* „Aristarchi magister" *κ. λ. π.* „*τῷ Χρυσίππῳ ἀπέδωκεν οὐκ ὀρθῶς, ταῦτα γὰρ Ἀριστοφάνῃ τῷ Βυζαντίῳ ἀναφέρεται.*

Τῷ διδασκάλῳ αὐτοῦ Κλεάνθει ὡς καὶ πλείστοις ἄλλοις διηνέχθη[4])· *ἴσμεν δ' Ἀντίπατρον τὸν Ταρσέα βιβλίον περὶ τῆς Χρυσίππου διαφορᾶς γεγραφέναι.*

1) *Γαλ.* 19, 227 (Kuehn.)

2) Tom. II Praef. XII.

3) Villoison in Prolegomenis XXIX.

4) Cicero de Fato VI *καὶ* VII. Valer. Maximus 396, 24. *Πλουταρχ. Γ'*, 279, 3.

Κατὰ Φαβρίκιον ἐν τῇ Ἑλληνικῇ βιβλιοθήκῃ [1]) *ἠκροάσατο ἔτι Λακύδους καὶ Ἀρκεσιλάου τῶν Ἀκαδημαϊκῶν. Οὐκ ὀρθῶς ὅμως τοῦτ' ἔχει· συνεφιλοσόφησε γὰρ μόνον αὐτοῖς, ὡς Διογένης λέγει* [2]).

Τὴν ἀλαζονείαν αὐτοῦ βουλόμενος ἡμῖν δεικνύειν Διογένης [3]) *φησὶν, Πτολεμαίου τοῦ Φιλοπάτορος πρὸς Κλεάνθην ἐπιστείλαντος Χρύσιππον πρὸς αὐτὸν πέμψαι, οὗτος μὲν περιεῖδε, Σφαῖρος, δ' ἀπῆλθεν. Πάνυ ὀρθῶς ἀπεφήνατο ἤδη* Petersen [4]) *τὸν Πτολεμαῖον τοῦτον οὐ τὸν Φιλοπάτορα, ἀλλὰ τὸν Εὐεργέτην εἶναι, ὃς ἔτει* 246 *ἐπὶ τὸν θρόνον ἦλθεν* [5]). *Ἔτι δὲ καὶ ἐκ τῆς ἀμέσου κατὰ Διογένην μετὰ τὴν πρόσκλησιν συγκροτήσεως σχολῆς δῆλον τὸν Πτολεμαῖον τοῦτον τὸν Εὐεργέτην καὶ οὐ τὸν Φιλοπάτορα εἶναι, ἦλθεν γὰρ Πτολεμαῖος ὁ Φιλοπάτωρ ἔτει* 221 *ἐπὶ τὸν θρόνον· ἀδύνατον*

---

1) Fabric. Bibl. Graeca III, 168.

2) *Δ. Λ.* Z, *ζ*, 184. *Λακύδης Κυρηναῖος φιλόσοφος Ἀκαδημαϊκὸς διαδεξάμενος τὴν σχολὴν παρ' Ἀρκεσιλάου. Κατὰ Διογένην* (*Δ, η*, 61) *ἐκ πολυποσίας τὸν βίον αὐτοῦ ἐτελεύτησε· τοῦτο δὲ καὶ Ἀθήναιος* (*Ι'*, *σελ.* 438 a) *ἐπιβεβαιοῖ. Κατὰ* Meineke (Analect. Alex. *σελ.* 5. 6) *ἐσφαλμένως ὁ Φαβρίκιος* (Bibl. Gr. III, 497) *δύο Λακύδας παραδέχεται, ὁ γὰρ παρ' Αἰλιανῷ* (*περὶ ζώων*, 7, 41) *περιπατητικὸς καλούμενος, ὁ αὐτὸς τῷ παρ' Ἀθηναίῳ ἁπλῶς φιλοσόφῳ καλουμένῳ* (*Αθ. ΙΓ'*, 606 c). *Πρβλ. καὶ* Franc. Nic. Gisl. Baguet in Annalibus Academiae Lovaniensis Vol. IV. 1822 pag. 18 *κέ. καὶ. σημ.* 17.

3) *Δ. Λ.* Z, *ζ.* 185. Z, *ζ'*, 177.

4) *ἀν. χωρ. σελ.* 212.

5) *Ἀθην. Η'*, *κεφ.* 50 „*Οὐκ ἀχαρίστως δὲ καὶ Σφαῖρον, τὸν συσχολάσαντα μὲν Χρυσίππῳ παρὰ Κλεάνθει μετάπεμπτον δὲ γενόμενον εἰς Ἀλεξάνδρειαν ὑπὸ τοῦ βασιλέως Πτολεμαίου.*

οὖν τὸν Χρύσιππον ἀποθανόντα Ὀλ. 143 (209 π. Χ.) ἐπὶ τόσῳ βραχεῖ χρόνῳ τῆς σχολῆς καθηγήσασθαι. Συνεκρότησε δὲ σχολὴν μεταπεμψάμενος [1]) Ἀριστοκρέοντα καὶ Φιλοκράτην [2]) τοὺς τῆς ἀδελφῆς υἱούς. Πλὴν δὲ τούτων ἔσχε μαθητὰς Ζήνωνα τὸν Διοσκορίδου Ταρσέα ἢ Σιδώνιον, τὸν καὶ διαδεξάμενον αὐτὸν [3]), καὶ Διογένην τὸν Βαβυλώνιον [4]). Ἐλάμβανε μισθὸν παρὰ τῶν μαθητῶν αὐτοῦ ὡς Κοϊντιλιανός φησιν [5])· ὢν δὲ τοῦθ' ἕνεκα πλούσιος πάνυ ὀλίγα πρὸς τὴν

---

1) Διογ. Λαέρτ. Ζ, ζ, 185.

2) Τοῦτον ὁ Χρύσιππος ἰδιαιτέρως δι' ἔργων αὐτοῦ ἐτίμησεν· οὕτω ἔγραψε πρὸς αὐτὸν „περὶ τῆς εἰς τὸν ψευδόμενον εἰσαγωγῆς πρὸς Ἀριστοκρέοντα α΄." (Δ. Λ. Ζ, ζ, 196 κἑ.) „Περὶ τοῦ ψευδομένου πρὸς Ἀριστοκρέοντα ς΄." (αὐτόθι πρβλ. καὶ Ἐπικτήτου Διατριβὴν 2, 17, 34) „πρὸς τοὺς διὰ τομῆς διαλύοντας τὸν ψευδόμενον λόγον β΄. (Δ. Λ. ἐν. ἀν. χωρ.) „Λύσεις τῶν Ἡδύλου ὑποθετικῶν" „περὶ ἀποφάσκοντος β΄." „περὶ τῆς διαλεκτικῆς δ΄." „περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς ι΄." — Ὁ Φιλοκράτης οὐδαμοῦ πλὴν ἐνταῦθα (Δ. Λ. Ζ, ζ, 185) ἀπαντᾷ.

3) Εὐσεβ. Προπαρ. Εὐαγγελ. 816 c „Ζήνωνα δὲ Κλεάνθης διεδέξατο. Κλεάνθην δὲ Χρύσιππος, τοῦτον δὲ Ζήνων ὁ ἕτερος καὶ οἱ καθ' ἑξῆς" καὶ 820 d. Ὁ Ζήνων οὗτος κατὰ Διογένην (Ζ, α, 35) ὀλίγα γέγραφεν, πλείστους δὲ μαθητὰς καταλέλοιπεν. Πρβλ. καὶ Σουΐδ. γλ. Ζήνων καὶ ἔτι Εὐσεβ. Προπ. Εὐαγ. 15. 14 c. Ἄρειον Δίδυμον παρ' Εὐσεβίῳ σελ. 820 d. Δ. Λ. Ζ, α, 39.

4) Διογένους τοῦ Βαβυλωνίου ἀναφέρονται· „περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ". (Γαλην. περὶ τῶν καθ' Ἱπποκρ. καὶ. Πλάτ. δογμάτων. Iw. Mueller. σελ. 201) „περὶ εὐγενείας" (Ἀθην. 4. 168) „περὶ νόμων" (12. 526) „περὶ φωνῆς" (ἐν τῇ περὶ φωνῆς τέχνῃ) Δ. Λ. Ζ, α, 55. 57.

5) Quintil. de instit. Orat. XII, 7. 9 Caecis hoc, ut aiunt satis clarum esse, nec quisquam, qui sufficientia sibi (modica

ζωὴν αὐτοῦ διετίθετο [1]). Ἐτελεύτησεν ἄγων τὸ ἑβδομηκοστὸν τρίτον ἔτος τῆς ἡλικίας αὐτοῦ κατὰ Ἀπολλόδωρον ἐν τοῖς Χρονικοῖς παρὰ Διογένει τῷ Λαερτίῳ [2]). Ψευδολουκιανὸς ἐν Μακροβίοις [3]) φησὶν 81 ἔτη αὐτὸν βιῶσαι, παρὰ δὲ Βαλερίου Μαξίμου [4]) μανθάνομεν αὐτὸν τὸ ὀγδοηκοστὸν ἄγοντα ἄρξασθαι τῆς συγγραφῆς λογικῶν ὧν λθ.' πλήρη βιβλία κατέλιπεν [5]). Ἡ τῶν δύο τούτων συγγραφέων γνώμη οὐχὶ μόνον ἀμφίβολος ἀλλὰ καὶ παντάπασι ψευδὴς θεωρητέα ἀπέναντι τῆς τοῦ Ἀπολλοδώρου κυριότητος.

Ἡ αἰτία τοῦ θανάτου αὐτοῦ οὐκ ἀναφέρεται μετὰ βεβαιότητος [6]). Λακτάντιος ἐν τῷ περὶ ψευδοῦς σοφίας [7]),

---

autem haec sunt) possidebit, hunc quaestum sine crimine sordium fecerit. At si res familiaris amplius aliquid ad usus necessarios exiget, secundum omnium sapientium leges patietur sibi gratiam referri, cum et Socrati collatum sit ad victum, et Zenon, Cleanthes, Chrysippus mercedes a discipulis acceptaverint.

1) Στοβ. Ἀνθολ. 1. 281 (Meineke) Χρύσιππος ὁ Σολεὺς ἐποιεῖτο τὸν βίον ἐκ πάνυ ὀλίγων. καὶ 4. 289 Χρύσιππος ἐρωτηθεὶς „διὰ τὶ λιτὸς εἶ ἔχων χρήματα πολλά“ εἶπε τὸ μέλλον οὐκ εἰδώς, ἵνα ἐάν τι γένηται μὴ ξενίζωμαι.

2) Δ. Λ. Ζ, ζ, 184 πρβλ. καὶ Σουΐδ. γλ.

3) Λουκ. Μακροβ. 20.

4) Valer. Maxim. 398 Halm. „Citerioris aetatis metas, sed non parvi tamen spatii Chrysippi vivacitas flexit: nam octogesimo anno coeptum undequadragesimum λογικῶν exactissimae subtilitatis volumen reliquit“ πρβλ. καὶ Λουκ. Ἑρμοτιμ. 790. Jacobitz.

5) Baguet. ἐν ἀν. χωρ. σελ. 33.

6) Δ. Λ. Ζ, ζ, 184. Σουΐδ. γλ.

7) Lactant. de falsa sapientia III, 18. „Multi ergo ex iis, quia aeternas esse animas suspicabantur, tanquam in caelum

φησὶν, Χρύσιππον ἰδίᾳ χειρὶ τελευτῆσαι, ὡς Κλεάνθην καὶ Ζήνωνα, ὅπερ οὐ πάντως ἀπίθανον, ἴσμεν γὰρ Ζήνωνα 1) καὶ Κλεάνθην 2) τοιοῦτον σχόντας τοῦ βίου τέλος. Ἐκ τῶν παρὰ Διογένει τῷ Λαερτίῳ ὅμως ἰάμβων δῆλον ὅτι Διοκλῆς ὁ Μάγνης ἐξ οὗ ἅπαντα τὰ περὶ Στωϊκῶν ὁ Διογένης ἤντλει 3), μᾶλλον εἰς τὸν ἐξ οἰνοποσίας θάνατον ἐπίστευεν.

Ζῶν λίαν παρ' Ἀθηναίοις ἐτιμᾶτο· τεκμήριον δὲ ὅτι πολίτην Ἀθηναῖον αὐτὸν ἐπωνόμασαν 4). Θανόντι δ' αὐτῷ ἀνδριὰς ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Ἀριστοκρέοντος μετ' ἐπιγράμματος ἱδρύθη 5). Περὶ τοῦ ἀνδριάντος ποιούμενος λόγον

---

migraturi essent sibi ipsi manus intulerunt, ut Cleanthes, ut Chrysippus, ut Zenon, ut Empedocles."

1) Δ. Λ. Ζ, α, 28.

2) Δ. Λ. Ζ, ε, 176 „Καὶ τελευτᾷ Κλεάνθης τόνδε τὸν τρόπον· διῴδησεν αὐτῷ τὸ οὖλον· ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς. καίπως ἔσχε καλῶς ὥστε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν. τὸν δὲ μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προωδοιπορῆσθαι καὶ τὰς λοιπὰς ἀποσχόμενον τελευτῆσαι —."

3) Περὶ τῶν τοῦ Διογένους πηγῶν ἴδ. F. Nitzsche im Rheinischen Museum 1868 Ἔτος 23ον σελ. 634.

4) Πλουτ. π. Στωϊκ. ἐναντ. σελ. 1264, 43 (Duebner) „καὶ μὴν Ἀντίπατρος ἐν τῷ περὶ τῆς Κλεάνθους καὶ Χρυσίππου διαφορᾶς ἱστόρηκεν ὅτι Ζήνων καὶ Κλεάνθης οὐκ ἠθέλησαν Ἀθηναῖοι γενέσθαι, μὴ δόξωσι τὰς αὐτῶν πατρίδας ἀδικεῖν. ὅτι μὲν εἰ καλῶς οὗτοι πράττουσι, Χρύσιππος οὐκ ὀρθῶς ἐποίησεν παρείσθω." Στοβ. 208 „Χρύσιππος ἐρωτηθεὶς διὰ τὶ οὐ πολιτεύεται εἶπεν, διότι εἰ μὲν πονηρὰ πολιτεύεται, τοῖς θεοῖς ἀπαρέσει, εἰ δὲ χρηστὰ, τοῖς πολίταις."

5) Πλουτ. σελ. 1264, 26 (Duebner) Ἀριστοκρέων γοῦν ὁ

ὁ Petersen[1]) ἀναφέρει ἐπὶ ταῖς τοῦ Παυσανίου, Διογένους, Κικέρωνος καὶ Πλουτάρχου μαρτυρίαις ἐρειδόμενος πλείους τοῦ ἑνὸς ἀνδριάντος, οὐκ ὀρθῶς μέντοι, ὅ τε γὰρ παρὰ Κικέρωνι, Πλουτάρχῳ, Διογένει καὶ Παυσανίᾳ[2]) ἀναφερόμενος ἀνδριὰς εἷς καὶ ὁ αὐτός ἐστιν[3]). Ὡς ἡμῖν Ἰουβενάλιος[4]) λέγει, ἡ τοῦ Χρυσίππου προτομὴ συχνὰ ἐν Ῥώμῃ ἀπήντα „plena omnia gypsi Chrysippi invenias.“ Κατὰ Visconti[5]) ἀπαντᾷ ἡ τοῦ Χρυσίππου εἰκὼν ἐπὶ νομίσματος τῆς γενεθλίου αὐτοῦ πόλεως ἀπεικάζουσα αὐτὸν ὑψωμένην ἔχοντα τὴν χεῖρα ὅ ἀκριβῶς τῷ παρὰ Κικέρωνι[6]) „— Athenis statua est in Ceramico Chrysippi sedentis, porrecta manu“ συμφωνεῖ. Ὁ αὐτὸς Visconti[7]) ἐκ τῆς ὁμοιότητος ἀγόμενος τῆς μεταξὺ τῆς ἐπὶ τοῦ νομίσματος εἰκόνος καί τινος προτομῆς ἐν τῇ ἐπαύλει Albani εὑρισκομένης ταύτην τῷ Χρυσίππῳ ἀπέδωκεν.

Χρυσίππου μαθητὴς καὶ οἰκεῖος, εἰκόνα χαλκῆν ἀναστηλώσας ἐπέγραψε τόδε τὸ ἐλεγεῖον·

Τόνδε νέον Χρύσιππον Ἀριστοκρέων ἀνέθηκε
τῶν Ἀκαδημαϊκῶν στραγγαλίδων κοπίδα.

1) σελ. 210.

2) Cicero de finib. I, 11. Πλουτ. π. στ. ἐν. 1264, 26 (Duebner). Δ. Λ. Ζ, ζ, 182. Παυσαν. 1, 17, 2 „Ἐν δὲ τῷ γυμνασίῳ τῆς ἀγορᾶς ἀπέχοντι οὐ πολὺ, Πτολεμαίῳ δὲ ἀπὸ τοῦ κατασκευασαμένου καλουμένῳ, λίθοι τέ εἰσιν Ἑρμαῖ θέας ἄξιοι καὶ εἰκὼν Πτολεμαίου χαλκῆ· καὶ ὅτε Λίβυς Ἰοθβας ἐνταῦθα κεῖται καὶ Χρύσιππος ὁ Σολεύς.“

3) Meursius de Ceramico Gemino cap. XV σελ. 76.

4) Sat. 2. 4.

5) Iconogr. gr. pl. 57, 1.

6) ἐν. ἀν. χωρ.

7) Iconogr. gr. pl. 23, 4.

Ἔργα Χρυσίππου.

Συνέγραψε κατὰ Διογένην[1]) *βιβλία πλείω τῶν πέντε καὶ ἑπτακοσίων. Ἐν τῷ παρ' αὐτῷ ὅμως καταλόγῳ περιέχεται νῦν βιβλία διακόσια ἐνενήκοντα καὶ πέντε. Ἐν τῇ ἡμετέρᾳ πραγματείᾳ ποιησόμεθα λόγον μόνον περὶ τῶν γραμματικῶν αὐτοῦ ἔργων οὐχ' ὅμως τοὺς τίτλους τούτων ὡς ἐπικεφαλίδας τῶν κεφαλαίων λαμβάνοντες, ἀλλ' ἐν τῷ τέλει ἑκάστου κεφαλαίου ταῦτα ἀναφέροντες. Τούτου προτάξομεν κατάλογον τῶν γραμματικῶν αὐτοῦ ἔργων. Ὡς δῆλον ἐκ τοῦ περισωθέντος ἡμῖν ἀποσπάσματος τοῦ καταλόγου παρὰ Διογένει, διῄρει Διοκλῆς εἰς διαφόρους τάξεις τὰ Χρυσίππεια ἔργα, ὧν ἔτι δύο γνωρίζομεν. Α΄. Ἔργα τόπου λογικοῦ*[2]) *ὑποδιαιρούμενα α΄) εἰς θέσεις*[3]) *β΄) εἰς λογικὰ καὶ ἔργα τῶν τοῦ φιλοσόφου σκεμμάτων*[4]) *γ΄) εἰς ἔργα λογικοῦ τόπου πρὸς τοὺς λόγους καὶ τοὺς τρόπους*[5]) *καὶ δ΄) Λογικοῦ τόπου τὰ τῶν προειρημένων διαφορῶν ἐκτὸς ὄντα καὶ περιέχοντα τὰ σποράδην καί ου σωματικὰς ζητήσεις λογικάς*[6]). *καὶ Β΄. Ἠθικοῦ τόπου*[7]).

Τὰ πλεῖστα τῶν γραμματικῶν ἔργων ἐν τῇ Α΄. τάξει περιλαμβάνεται· ἔστιν ὅμως ἃ καὶ ἐν τῇ Β΄. Χρύσιππος αὐτὸς τὰ ἔργα τοῦ εἰς τρία διῄρει· πρῶτον λογικά, δεύτερον ἠθικὰ καὶ τέλος φυσικά· ἐκ τριῶν γὰρ καὶ τὴν φιλοσοφίαν

---

1) *Δ. Λ.* Ζ, ζ, 180. *Σουΐδ. λέγει „πλείω ἢ ψ΄.“*
2) *Δ. Λ.* Ζ, ζ, 189.
3) αὐτόθι.
4) αὐτόθι.
5) 193.
6) 188.
7) 201.

μερῶν ἀποτελουμένην ᾤετο [1]). Ἐν τῷ παρὰ Διογένει καταλόγῳ ἔχομεν ἅπαντα τὰ λογικά, μέρος τῶν ἠθικῶν, οὐδὲν δὲ τῶν φυσικῶν.

Περὶ ἀξιωμάτων α' [2]), περὶ τῶν οὐχ ἁπλῶν ἀξιωμάτων α', περὶ τῶν ἀορίστων ἀξιωμάτων γ'. περὶ τῶν διαφορῶν τῶν ἀορίστων δ', περὶ τῶν κατὰ χρόνους λεγομένων β'. περὶ τοῦ τίνα ἐστὶ τὰ ψευδῆ α' [3]), περὶ προσταγμάτων β', περὶ ἐρωτήσεως β', περὶ πεύσεως δ', περὶ ἀποκρίσεως δ', ἐπιτομὴ περὶ ἐρωτήσεως καὶ πεύσεως α', ἐπιτομὴ περὶ ἀποκρίσεως α', περὶ ζητήσεως β', περὶ τῶν κατηγορημάτων ι', περὶ τῶν συναμμάτων (συμβαμάτων;) α', περὶ κατηγορημάτων πρὸς Πασύλον δ', περὶ τῶν πέντε πτώσεων α' [4]), περὶ προσηγορικῶν β', περὶ τῶν ἑνικῶν καὶ πληθυντικῶν ἐκφορῶν ϛ', περὶ λέξεων πρὸς Σωσιγένην καὶ Ἀλέξανδρον ε', περὶ τῆς κατὰ τὰς λέξεις ἀνωμαλίας πρὸς Δίωνα δ', περὶ σολοικιζόντων λόγων α', λόγοι παρὰ τὰς συνηθείας α', λέξεις πρὸς Διονύσιον α', περὶ τῶν στοιχείων τοῦ λόγου καὶ τῶν λεγομένων δ', περὶ τῆς συντάξεως καὶ στοιχείων τῶν λεγομένων πρὸς Φίλιππον γ' [4]), περὶ τῶν στοιχείων τοῦ λόγου πρὸς Νικίαν α', κατὰ τῆς συνηθείας πρὸς Μητρόδωρον ϛ' [5]), ὑπὲρ τῆς συνη-

---

1) Πλουτ. π. στ. ἐν. σελ. 1266, 1 (Duebner) „Πολλαχοῦ δὲ τούτων ὑπ' αὐτοῦ (Χρυσίππου) λεγομένων, ἀρκέσει παραθέσθαι τὰ ἐν τῷ τετάρτῳ περὶ βίων ἔχοντα κατὰ λέξιν οὕτω· „„Πρῶτον μὲν οὖν δοκεῖ μοι, κατὰ τὰ ὀρθῶς ὑπὸ τῶν ἀρχαίων εἰρημένα, τρία γένη τῶν τοῦ φιλοσόφου θεωρημάτων εἶναι· τὰ μὲν λογικά, δεύτερα δὲ τὰ ἠθικά, τρίτα δὲ τὰ φυσικά.““

2) Δ. Λ. Ζ, ζ, 190.

3) 191.

4) 192.

5) Πλουτ. π. στ. ἐν. 1268, 25 (Duebner) „Αὐτὸς δὲ (Χρύ-

θείας πρὸς Γοργιππίδην ζ', περὶ τῶν ἐτυμολογικῶν πρὸς Διοκλέα ζ'. ἐτυμολογικῶν πρὸς Διοκλέα δ' [1]) *περὶ ποιημάτων πρὸς Φιλομαθῆ α', περὶ τοῦ πῶς δεῖ τῶν ποιημάτων ἀκούειν β'. πρὸς τοὺς κριτικοὺς πρὸς Διόδωρον α'.*

Ἐκ τοῦ προτελευταίου ἔργου ἤντλησέ τινα ἀναμφιβόλως Πλούταρχος ἐν τῷ „περὶ τοῦ πῶς δεῖ τῶν ποιημάτων ἀκούειν" ἔργῳ αὐτοῦ. Ἐν τούτῳ δὶς μνείαν Χρυσίππου ποιεῖται [2]). *„Καὶ Χρύσιππος δὲ πολλαχοῦ γλίσχρος ἐστίν, οὐ παίζων ἀλλ' εὑρεσιολογῶν ἀπιθάνως, καὶ παραβιαζόμενος Εὐρύοπα Κρονίδην εἶναι τὸν δεινὸν ἐν τῷ διαλέγεσθαι, καὶ διαβεβηκότα δυνάμει τοῦ λόγου. „Καὶ περὶ μὲν τούτου οὐχ οἷον ἀσφαλῶς ἀποφαίνεσθαι εἰ ἐκ τοῦ „περὶ πῶς δεῖ τῶν ποιημάτων ἀκούειν" ἔργου τοῦ Χρυσίππου παρελήφθη. Μετὰ βεβαιότητος ὅμως εἴποι τις ἂν τοῦτο περὶ τοῦ ἑπομένου* [3]) · *„Τὴν δ' ἐπὶ πλεῖον τῶν λεγομένων χρῆσιν ὑπέδειξεν ὀρθῶς ὁ Χρύσιππος, ὅτι δεῖ μετάγειν καὶ διαβιβάζειν ἐπὶ τὰ ὁμοειδῆ τὸ χρήσιμον. Ὅτε γὰρ Ἡσίοδος εἰπὼν*

Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη,

καὶ περὶ κυνὸς ταὐτό, καὶ περὶ ὄνου λέγει, καὶ περὶ πάντων

σιππος) τοσαῦτα βιβλία γράφων κατὰ τῆς Συνηθείας, οἷς, εἴ τι ἀνεῦρες, προσέθηκας, ὑπερβαλλέσθαι φιλοτιμούμενος τὸν Ἀρκεσίλαον, οὐδένα τῶν ἐντυγχανόντων ἐπιταράξειν προσεδόκησας; Οὐδὲ γὰρ ψιλοῖς χρῆται τοῖς κατὰ Συνηθείας ἐπιχειρήμασιν, ἀλλ' ὥσπερ ἐν δίκῃ μετὰ πάθους τινὸς συνεπιπάσχων, μωρολογεῖν τε πολλάκις λέγει [*] καὶ κενοσκοπεῖν. πρβλ. καὶ 1267, 27. 1268, 14.*

1) *Ἐτυμολογίας Χρυσίππου ἀνευρίσκομεν ἐν τῷ Μεγάλῳ Ἐτυμολόγῳ· ἐν τοῖς ἑξῆς δὲ περὶ τούτων λόγον ποιησόμεθα.*

2) *Πλούταρχος περὶ τοῦ π. δεῖ τ. ποιημάτων ἀκούειν. σελ.* 38, 31 (Duebner).

3) *Πλουταρχ. αὐτόθι* 41, 13.

ὁμοίως τῶν ἀπολέσθαι δυναμένων. Καὶ πάλιν τοῦ Εὐριπίδου λέγοντος,

Τίς δ' ἐστι δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν

ὑπακουστέον ὅτι καὶ περὶ πόνου καὶ νόστου τὰ αὐτὰ εἴρηκεν." Ἔτι ἀναφέρει Πλούταρχος ἐν τῷ ἔργῳ τούτῳ Κλεάνθην καὶ Ζήνωνα καὶ δὴ διόρθωσιν Ζήνωνος εἰς Σοφοκλέα [1]).

Πολλοὶ ἐμέμφοντο αὐτοῦ ὅτι πλεῖστα χωρία ἐν τοῖς ἔργοις αὐτοῦ ἐξ ἄλλων συγγραφέων παρετίθετο [2]), ἰδίως δὲ κατηγορεῖ αὐτοῦ τοῦτο Γαληνὸς πολλαχοῦ [3]).

---

1) Πλούταρχ. αὐτόθι 40, 48 Καὶ ὁ Ζήνων ἐπανορθούμενος τὸ τοῦ Σοφοκλέους·

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου 'στι δοῦλος, κἂν ἐλεύθερος μόλῃ

μετέγραφεν

Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ

τῷ ἐλευθέρῳ νῦν συνεκφαίνων τὸν ἀδεῆ καὶ μεγαλόφρονα, καὶ ἀταπείνωτον.

2) Δ. Λ. Ζ, ζ, 180.

3) Γαλ. π. τ. καθ' Ἱπποκρ. κ. Πλατ. δογμ. σελ. 260 „Κάλλιον οὖν, οἶμαι καθάπερ ὁ Πλάτων ἀποδεῖξαι προὐθυμήθη τὸ ἑαυτοῦ δόγμα, καὶ τὸν Χρύσιππον οὕτω πειραθῆναι τὸ τοῦ Ζήνωνος ἀποδεῖξαι καὶ μὴ πλῆθος ἐπῶν παραγράφειν ἐξ ἁπάντων τῶν ποιητῶν ἐκλέγοντα δεικνύντων ὀργὴν καὶ θυμὸν καὶ φόβον καὶ δειλίαν καὶ θράσος καὶ καρτερίαν ὅσα τε ἄλλα τοιαῦτα τὰ μὲν ἐνεργείας τινὰς εἶναι, τὰ δὲ παθήματα τῆς καρδίας. τί γὰρ αὐτῷ βούλεται ταυτὶ τὰ ἔπη τοῦ Ὁμήρου συνειλιγμένα;" σωρὸν δ' ὁλόκληρον Ὁμηρικῶν στίχων παρατιθέμενος τελευτῶν λέγει (σελ. 265) „ἐγὼ δὲ εἰ πάντα παραγράφοιμι, πληρώσω τὸ βιβλίον ὥσπερ καὶ Χρύσιππος ἐπλήρωσεν." Μέμφεται δ' ἔτι αὐτοῦ (σελ. 286) ὅτι βουλομένου δόγματα ἀποδεικνύειν, Στησιχόρου καὶ Τυρταίου μνη-

Ὑπὸ πλείστων ὡς ὁ ἄριστος τῶν ἐκ τῆς Στοᾶς ἀναφέρεται [1]), Ἀθήναιος δὲ [2]) στοᾶς ἡγεμόνα αὐτὸν ἀποκαλεῖ. Ἔτι δὲ καὶ Γαληνὸς ὁ μὴ φιλικῶς αὐτῷ διακείμενος τὰ τῶν λοιπῶν Στωϊκῶν παραλείπων τὰ τοῦ Χρυσίππου μόνα παρατίθεται [3]). Πολλὰ τῶν ἔργων αὐτοῦ ἔτυχον ἑρμηνευτῶν καὶ ἐξηγητῶν. Ἀριστοκλῆς δ' ὁ Λαμψακηνὸς ἔγραψε κατὰ Σουΐδαν [4]) ἐξήγησιν τοῦ Χρυσιππείου ἔργου περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα [5]).

Αὐτὸς ὁ Χρύσιππος Ἐπιτομὰς ἰδίων ἔργων συνέταξεν [6]).

μονεύει „οὓς εἰ καὶ ζῶντας ἤρετό τις, εἰ περὶ τῆς τούτων τῶν δογμάτων ἐπιστήμης ἀμφισβητοῦσιν, ἐξωμολογήσαντο ἂν εὖ οἶδ' ὅτι μηδὲν ἐπαΐειν αὐτῶν, αὐτοὶ δὲ μᾶλλον ἂν οἶμαι παρὰ Χρυσίππου τι μαθεῖν ἢ παρ' αὐτῶν ἀποδεικνύειν ἠξίωσαν."

1) Φίλων π. ἀφθ. κόσμου § 14 Τζέτζης Χιλ. 8, 945 „Ὃς διαλεκτικώτατος ὁ Χρύσιππος ὑπῆρχεν."

2) Ἀθ. Η', 335.

3) Γαλ. σελ. 458.

4) Σουΐδ. γλ. Ἀριστοκλῆς.

5) Ἐπικτήτου Ἐγχειρίδιον σελ. 57 (Schweighofer) „ἐγὼ δὲ τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. ζητῶ οὖν, τίς ἐστιν ὁ ἐξηγούμενος; καὶ ἀκούσας ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα. ζητῶ οὖν τὸν ἐξηγούμενον. καὶ μέχρι τούτων οὔπω σεμνὸν οὐδέν. Ὅταν δ' εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παρηγγελμένοις, πρβλ. καὶ Ἐπικτήτου Διατριβὴν II, 21, 7.

6) Δ. Λ. Ζ, ζ, 191.

Περὶ φωνῆς.

Ἐν τῇ παρὰ Διογένει τῷ Λαερτίῳ ἐκθέσει τῶν Στωϊκῶν δογμάτων πολλὰ περὶ φωνῆς λόγου κ. λ. ἀπαντᾷ τούτων τὰ πλεῖστα Χρυσίππου καὶ τοῦ μαθητοῦ αὐτοῦ Διογένους τοῦ Βαβυλωνίου ἐστί. Διογένην τοῦτον ὁρῶμεν ἀεί, οὐχὶ δὲ μόνον ἐν τοῖς περὶ φωνῆς, ταῖς γνώμαις καὶ θεωρίαις τοῦ διδασκάλου ἑπόμενον καὶ συναινοῦντα. Τοῦτο δ' ἀφορμὴν πολλάκις παρέχει ἡμῖν ἐν τοῖς ὑπὸ τούτου λεγομένοις Χρυσιππείους ἰδέας καὶ δόγματα ἀναζητεῖν.

Πατὴρ τῆς παρὰ Στωϊκοῖς περὶ φωνῆς θεωρίας ἦν Ζήνων· τούτῳ Χρύσιππος τ' ἄλλ' ὅλα εἵπετο πλὴν ἑνός· πρῶτος γὰρ τῶν Στωϊκῶν εἶπεν οὗτος σῶμα τὴν φωνὴν εἶναι[1]*, πᾶν γὰρ τὸ ποιοῦν σῶμα.*

---

1) *Δ. Λ. Ζ, α*, 56. Gell. Noct. Attic. V, 15. *Πλουτ. περὶ Μουσικ.* 1383, 18 (Duebner). *Εὐσταθ. εἰς Ιλ. Β. στ.* 490 „*Σημείωσαι δὲ ὅτι τό, φωνὴ δ' ἄρρηκτος εἴη, δέδωκεν ἀφορμὴν τοῖς Στωϊκοῖς τοῦ σῶμα λέγειν τὴν φωνήν· σωμάτων γὰρ δοκεῖ τὸ ῥήγνυσθαι, εἰ γὰρ καὶ ὁ Πλάτων οὐ σῶμα λέγει αὐτὴν εἶναι, ὡς ἐν τῷ γίνεσθαι τὴν ὕπαρξιν ἔχουσαν, μετὰ δὲ τοῦτο μὴ ὑφισταμένην, ἀλλ' οἱ τῆς Στοᾶς σῶμα ἔλεγον τὴν φωνὴν διὰ τὸ δραστικὸν αὐτῆς καὶ παθητικόν. δρᾷ μὲν γάρ, φασιν, ἀκουομένη· πάσχει δὲ ἀνιεμένη καὶ ἐπιτεινομένη· ἔτι δέ φασι, σῶμα ἐστὶν ἡ φωνὴ καὶ διότι πίπτει ὑπὸ αἴσθησιν, τὴν ἀκοὴν δηλαδή, ἔτι δὲ καὶ τὴν ἀντιτυπίαν, ἀντιτυποῖ γὰρ προσπίπτουσα ταῖς ἀκοαῖς. Πλούταρχ. περὶ τῶν ἀρεσκ. τοῖς φιλοσόφ. Δ'. σελ.* 1102 (Duebner). *Οἱ δὲ Στωϊκοὶ σῶμα τὴν φωνήν, πᾶν γὰρ τὸ δρώμενον ἢ καὶ ποιοῦν, σῶμα· ἡ δὲ φωνὴ ποιεῖ καὶ δρᾷ· ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης τῇ ἀκοῇ, καὶ ἐκτυπούσης καθάπερ δακτύλιον εἰς κηρόν. Ἔτι πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά*

Τὴν περὶ φωνῆς θεωρίαν τῶν Στωϊκῶν κολάζει Γαληνὸς 1) *καὶ δικαίως· βουλόμενοι γὰρ τὸ μέρος ἐν ᾧ ἡ φωνὴ τὴν ἀρχὴν λαμβάνει ὑποδεικνύειν, χρῶνται διαφόροις συλλογισμοῖς ἀναξίοις καὶ ἀναρμόστοις τῷ φυσιολογικῷ τούτῳ ζητήματι. Ὡς δ' ἡμῖν Εὐστάθιος* 2) *λέγει, οὐδὲν ἄλλο τὸ παρακινῆσαν Χρύσιππον τὴν φωνὴν σῶμα εἰπεῖν ἢ ὁ στίχος τῆς Ἰλιάδος* 3).

„φωνὴ δ' ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη.“

Ἵνα δὲ πᾶς τις τὸν τρόπον τοῦ ἐρευνᾶν τοῦ Χρυσίππου μάθῃ, παρατεθήσομαι τὴν περὶ φωνῆς αὐτοῦ θεωρίαν ἣν ἡμῖν ὁ Γαληνὸς 4) *διέσωσεν. „Εὔλογον δὲ εἰς ὃ γίνονται αἱ [ἐν τούτῳ] σημασίαι καὶ ἐξ οὗ ὁ λόγος ἐκπέμπεται, ἐκεῖνο εἶναι τὸ κυριεῦον τῶς ψυχῆς μέρος. οὐ γὰρ ἄλλη μὲν πηγὴ λόγου ἐστὶν, ἄλλη δὲ διανοίας, οὐδὲ ἄλλη μὲν φωνῆς πηγή, ἄλλη δὲ λόγου, οὐδὲ τὸ ὅλον [ἁπλῶς] ἄλλη φωνῆς πηγή ἐστιν, ἄλλο δὲ τὸ κυριεῦον τῆς ψυχῆς μέρος. τοιοῦτοι δὲ συμφώνως καὶ τὴν διάνοιαν ἀφοριζόμενοι λέγουσιν αὐτὴν πηγὴν εἶναι λόγου. τὸ γὰρ ὅλον, ὅθεν ὁ λόγος ἐκπέμπεται, ἐκεῖσε δεῖ καὶ τὸν διαλογισμὸν γίνεσθαι καὶ τὰς διανοήσεις καὶ τὰς μελέτας τῶν ῥήσεων, καθάπερ ἔφην. ταῦτα δὲ ἐκφανῶς περὶ τὴν καρδίαν γίνεται ἐκ τῆς καρδίας διὰ φάρυγγος καὶ τῆς φωνῆς καὶ τοῦ λόγου ἐκπεμπομένων.“*

ἐστι· κινεῖ δὲ ἡμᾶς ἡ εὐμουσία, ἐνοχλεῖ δὲ ἡ ἀμουσία. Ἔτι πᾶν τὸ κινούμενον σῶμά ἐστι. κινεῖται δὲ ἡ φωνὴ καὶ ἐμπίπτει εἰς τοὺς λείους τόπους καὶ ἀντανακλᾶται, καθάπερ ἐπὶ τῆς σφαίρας τῆς βαλλομένης εἰς τοῖχον.

1) Γαλ. 205.

2) Ἴδ. προηγ. σελ. σημ. 1.

3) Ἰλ. Β. 490.

4) Γαλ. 203.

Αἱ περὶ φωνῆς ἰδέαι τοῦ Χρυσίππου, ὡς δῆλον ἐκ τοῦ παρὰ Διογένει χωρίῳ[1]*) ἐκ τοῦ περὶ φυσικῶν ἔργου αὐτοῦ ἐλήφθησαν*[2]*).*

Περὶ λόγου.

Λόγος ἦν κατὰ Χρύσιππον[3]*) φωνὴ σημαντικὴ ἀπὸ διανοίας ἐκπεμπομένη. Πῶς δὲ Χρύσιππος τὴν ἐκ τῆς διανοίας τοῦ λόγου ἐκπομπὴν ἀπεδείκνυε, καὶ τίσι συλλογισμοῖς πρὸς τοῦτο ἐχρῆτο ἔνεστιν ἐν τῇ ἀνωτέρω παρατεθείσῃ περικοπῇ ἐκ τοῦ Γαληνοῦ ἐνιδεῖν. Διαφέρει λόγος λέξεως ὅτι λόγος ἀεὶ σημαντικός ἐστι, λέξις δὲ καὶ ἄσημος. Καὶ τὸ λέγειν δ' αὖ τοῦ προφέρεσθαι διαφέρει· προφέρονται μὲν γὰρ αἱ φωναί, λέγονται δὲ τὰ πράγματα ἃ δὴ καὶ λεκτὰ τυγχάνει.*

Ἔργα Χρυσίππου περὶ λόγου ἀναφέρει ὁ Διογένης ἐν τῷ καταλόγῳ τῶν ἔργων αὐτοῦ[4]*)· τὸ κύριον ὅμως περὶ λόγου ἔργον αὐτοῦ ἦν τὸ „περὶ τῶν λόγων γ'"*[5]*).*

Περὶ λέξεως.

Τὰ παρὰ Διογένει τῷ Λαερτίῳ περὶ λέξεως εὑρισκόμενα οὐ Χρυσίππου ἀλλὰ τοῦ μαθητοῦ αὐτοῦ Διογένους τοῦ Βαβυλωνίου. Πιθανὸν δ' ἐν τοῖς ὑπὸ τούτου λεγομένοις τὴν Χρυσίππου γνώμην ὑπολανθάνειν.

---

1) *Δ. Λ. Ζ, α*, 55.
2) *Πλουτ. π. στωϊκ. ἐν.* 1289, 25.
3) *Στοβ. Α'*, 82. *Δ. Λ. Ζ, α*, 56.
4) *Δ. Λ. Ζ, ζ*, 192 *κ. ἑ.*
5) *Δ. Λ. Ζ, ζ*, 194.

Ἔστιν οὖν λέξις 1) *φωνὴ ἐγγράμματος. Πάνυ δ' ἀκριβῶς τὴν μεταξὺ λέξεως καὶ φωνῆς καθίστησι διαφοράν· φωνὴ γὰρ ὁ ἁπλοῦς ἦχος, λέξις δὲ τὸ ἔναρθρον. Στοιχεῖα τῆς λέξεως τὰ εἰκοσιτέσσαρα γράμματα.*

Χρύσιππος ἔγραψεν ἔργον περὶ λέξεων εἰς ε' βιβλία 2).

Στοιχεῖα λόγου.

Στοιχεῖα τὰ μέρη τοῦ λόγου οἱ Στωϊκοὶ ἐκάλουν, καὶ ταύτης τῆς ὀνομασίας πρῶτος Χρύσιππος χρῆσιν ἐποιήσατο 3), *βουλόμενος ἴσως τῇ ὀνομασίᾳ ταύτῃ ὑπομιμνήσκειν ὅτι οὔσης τῆς φωνῆς σώματος καὶ τοῦ λόγου ὄντος φωνῆς σημαντικῆς, σῶμα καὶ ὁ λόγος, τὰ δὲ μέρη τὰ ἀποτελοῦντα αὐτὸν στοιχεῖα.*

Διοκλῆς ὁ Μάγνης ἐν τῇ παρὰ Διογένει τῷ Λαερτίῳ ἐκθέσει τῶν Στωϊκῶν δογμάτων ποιεῖται τῆς λέξεως μέρη χρῆσιν· τοῦτο δ' οὐ θαυμαστὸν ἦν· γὰρ Διοκλῆς Ἐπικούρειος. Ὅτι δὲ οἱ Στωϊκοὶ στοιχεῖα ταῦτα ἐκάλουν, δῆλον ἐκ τῶν τίτλων τῶν Χρυσιππείων ἔργων ἃ ταῦτα ἀντικείμενον ἔχουσιν 4).

---

1) *Δ. Λ.* Ζ, α, 56.

2) *Δ. Λ.* Ζ, ζ, 192.

3) *Δ. Λ.* Ζ, ζ, 192. 193. *Γαλην.* 673.

4) *Θεοδοσ. Ἀλεξανδρ. σελ.* 17 (Goettling.) „*Ἰστέον δέ, ὅτι τὰ μέρη τοῦ λόγου καλοῦσιν οἱ φιλόσοφοι στοιχεῖα· ὥσπερ γὰρ τὰ στοιχεῖα ἀποτελοῦσι τὰς συλλαβάς, καὶ τὰ κοσμικὰ στοιχεῖα ἀποτελοῦσι τὰ ἀνθρώπινα σώματα καὶ τὰ ἄλλα, οὕτω καὶ ταῦτα ἀπερχόμενα (ἀνάγν. ἐπερχόμενα) ἀπαρτίζουσι τὸν λόγον.*“ *Γαλην.* 673 „*κατὰ δὲ τὸν λόγον καὶ τὰ μὲν τῆς φωνῆς στοιχεῖα γεννᾶν πρῶτον τὰς συλλαβάς, εἶτ' ἐξ αὐτῶν γεννᾶσθαι τό τ' ὄνομα καὶ τὸ ῥῆμα*

Τῇ δ' αὖ ὀνομασίᾳ μέρη *ἐν ταῖς τῆς φιλοσοφίας ὑποδιαιρέσεσιν οἱ Στωϊκοὶ ἐχρῶντο, ὡς δῆλον ἐκ τῶν παρὰ Διογένει κειμένων* [1]. *„Τριμερῆ φασὶν εἶναι τὸν κατὰ τὴν φιλοσοφίαν λόγον· εἶναι γὰρ αὐτοῦ τὸ μέν τι φυσικὸν, τὸ δὲ ἠθικὸν, τὸ δὲ λογικὸν· ὁ δὲ Κλεάνθης* [2] *ἓξ μέρη φησὶ, διαλεκτικὸν, ῥητορικὸν, ἠθικὸν, πολιτικὸν, φυσικὸν, θεολογικόν.“ Χρύσιππος δὲ τὰ μέρη ταῦτα* εἴδη *ἐκάλει* [3]. *Καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος τῶν τοῦ λόγου στοιχείων· νῦν δ' ἐν τοῖς ἑπομένοις ἔσεται ὁ λόγος περὶ τοῦ ἀριθμοῦ τῶν στοιχείων παρὰ Χρυσίππῳ. Πρὸς ὁρισμὸν τοῦ ἀριθμοῦ δέον τρία χωρία ὑπ' ὄψιν λαβεῖν· α') τὸ τοῦ Διονυσίου τοῦ Ἁλικαρνασέως ἐν τῷ περὶ συνθέσεως λέξεων* [4] *β') τὸ τοῦ Διογένους* [5] *καὶ γ') τὸ τοῦ Πρισκιανοῦ* [6].

α') Τὸ παρὰ Διονυσίῳ „οἱ δὲ μετ' αὐτοὺς (ἐν. Ἀριστοτέλην καὶ Θεοδέκτην) γενόμενοι, καὶ μάλιστα οἱ τῆς Στωϊκῆς αἱρέσεως ἡγεμόνες ἕως τεττάρων προὐβίβασαν χωρίσαντες ἀπὸ τῶν συνδέσμων τὰ ἄρθρα. Εἶθ' οἱ μεταγενέστεροι τὰ προσηγορικὰ διελόντες ἀπὸ τῶν ὀνοματικῶν, πέντε ἀπεφήναντο τὰ πρῶτα μέρη.“

β') τὸ τοῦ Διογένους „Τοῦ δὲ λόγου ἔστι μέρη πέντε, ὥς φησι Διογένης τ' ἐν τῷ περὶ φωνῆς καὶ Χρύσιππος, ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον.“

καὶ τὴν προσηγορίαν, ἃ πάλιν ὁ Χρύσιππος ὀνομάζει τοῦ λόγου στοιχεῖα.“

1) *Δ. Λ. Ζ, α*, 39.
2) *Δ. Λ. Ζ, α*, 41.
3) *Δ. Λ. Ζ, α*, 39.
4) *Διον. π. συνθ. λεξ.* 2.
5) *Δ. Λ. Ζ, α*, 57.
6) Prisc. II *σελ.* 67 (Krehl).

Ἐκ τοῦ τελευταίου τούτου μανθάνομεν αὐτὸν πέντε στοιχεῖα λόγου παραδέχεσθαι. Ἐκ τούτου δ' ὁδηγούμενοι καὶ τὰ παρὰ Διονυσίῳ ἀναπληροῦντες λέγομεν οὐδὲν' ἕτερον ἢ Χρύσιππον τὸν Διονύσιον ἐννοεῖν λέγοντα μεταγενέστεροι. Τούτων οὕτως ἐχόντων δῆλον ὅτι Χρύσιππος πρῶτος τὸν ἀριθμὸν τῶν τοῦ λόγου στοιχείων εἰς πέντ' ἀνεβίβασε τὴν προσηγορίαν τοῦ ὀνόματος διελών.

Ἔχομεν ἔτι γ') τὸ τοῦ Πρισκιανοῦ χωρίον, ὃ δεικνύει ἡμῖν τὴν νεόχμωσιν ταύτην τοῦ Χρυσίππου, δόγμα παρὰ Στωϊκοῖς καταστᾶσαν. „Secundum Stoicos vero quinque sunt ejus (orationis) partes, nomen, appellatio, verbum, pronomen sive articulus conjunctio."

Κατὰ Κικέρωνα[1]) τὰ προσηγορικὰ εἰς ἁπλᾶ καὶ σύνθετα διῄρει, κατὰ δὲ Lersch καὶ εἰς συνώνυμα καὶ ὁμώνυμα. Τοῦτο δὲ λέγει ἐπί τινος παρ' Ἀθηναίῳ χωρίου ἐρειδόμενος, τοῦδε[2]): „Διαφέρειν δέ φησι Χρύσιππος δοῦλον οἰκέτου, γράφων ἐν δευτέρῳ περὶ ὁμονοίας, διὰ τὸ τοὺς ἀπελευθέρους μὲν δούλους ἔτι εἶναι, οἰκέτας δὲ τοὺς μὴ τῆς κτήσεως ἀφειμένους." ὁ Lersch ἐν τούτοις ἀντὶ ὁμονοίας ὁμωνύμων ἀναγιγνώσκει, καὶ ἐπὶ τούτων τὴν διαίρεσιν τῶν προσηγορικῶν εἰς ὁμώνυμα καὶ συνώνυμα στηρίζει. Τοῦθ' ὅμως ἀπίθανον· ἀναγνωστέον γὰρ ἐνταῦθα ὡς ἔοικέ μοι περὶ τῶν ὁμοίων· ὅπερ οὐχ ὅλως ξένον πρὸς τὰ Χρυσίππεια ἔργα· ἴσμεν γὰρ αὐτὸν περὶ τῶν ὁμοίων πρὸς Ἀριστοκλέα γ'[3]) γεγραφέναι. Ἔτι οἴεται αὐτὸν ὁ Lersch εἴδη καὶ γένη διελεῖν, ὅπερ οὐχ ὅλως ἀπίθανον[4]). Ἐν τέλει μνη-

1) Cicer. Orator § 115.
2) Ἀθην. ΣΤ', 267.
3) Δ. Λ. Ζ, ζ, 199. πρβλ. καὶ Varro de lingua latina VI, 1.
4) Δ. Λ. Ζ, α, 60.

μονευτέον τοῦ περὶ προσηγορικῶν ἔργου[1]) *τοῦ Χρυσίππου ἐκ δύο βιβλίων. Ἴσως καὶ περὶ ὀνομάτων ἐν τούτῳ διελάμβανεν, οὐκ ἀναφέρεται γὰρ ἕτερον βιβλίον αὐτοῦ εἰδικῶς τὰ τῶν ὀνομάτων πραγματευόμενον.*

ΠΤΩΣΕΙΣ. Ἔχομεν ἔργον Χρυσίππου περὶ τῶν πέντε πτώσεων[2]). *Καὶ ὁ μὲν ἐπιπολαίως τὰ πράγματ᾽ ἐξετάζων πείθεται ὅτι Χρύσιππος πέντε πτώσεις ἀπεξεδέχετο. Ἀλλ᾽ οὐχ οὕτως καὶ τῷ ἀκριβῶς τὰ πράγματ᾽ ἐπισκοποῦντι δοκεῖ. Τοῦτ᾽ αὐτὸ καὶ ἐμοὶ συμβέβηκεν ἰδόντι τὸν ἀριθμὸν πέντε· ἀλλ᾽ ἀκριβῶς τὰ ἐν τῇ ἐκθέσει τῶν στωϊκῶν δογμάτων παρὰ Διογένει ἐπισκοποῦντι δῆλον ἐγένετό μοι Χρυσίππῳ μόνον τέσσαρας πτώσεις γνωστὰς γεγονέναι, ὧν αἱ μὲν τρεῖς πλάγιαι, γενική, δοτικὴ καὶ αἰτιατική· ἡ δὲ μένουσα, ὀρθή, ἡ ὀνομαστική, ἣ καὶ εὐθεῖα καλουμένη. Τοῦτο δ᾽ ἐκ τῶν ἑξῆς δῆλον γενήσεται.*

Παρὰ Διογένει[3]) *ἀναγιγνώσκομεν „πλάγιαι δὲ πτώσεις εἰσὶ γενικὴ καὶ δοτικὴ καὶ αἰτιατική“.*

Νῦν ἴδωμεν καὶ τί ὀρθὴ πτῶσις παρὰ Στωϊκοῖς ἐκαλεῖτο[4])· *„κατηγορικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς καὶ κατηγορήματος, οἷον Δίων περιπατεῖ.“ Ὀρθὴ δὲ πτῶσις μόνον ἡ ὀνομαστικὴ σημαίνεται, οὐ γὰρ ἡ κλητικὴ κατηγορήματι συντακτή. Τούτων οὕτως ἐχόντων οὔτε σὺν τῇ ὀρθῇ ὀνομαστικῇ ἡ κλητικὴ ἀναφέρεται, οὔτ᾽ ἐν ταῖς πλαγίαις μνεία αὐτῆς γίγνεται. Λέγω, οὔτ᾽ ἐν ταῖς πλαγίαις, ὑπ᾽*

---

1) *Δ. Λ.* Ζ, ζ, 192.
2) *Δ. Λ.* Ζ, ζ, 192.
3) *Δ. Λ.* Ζ, α, 65.
4) *Δ. Λ.* Ζ, α, 70.

ἄλλων γὰρ ἡ κλητικὴ ἐν ταῖς πλαγίαις πτώσεσι καταλέγεται ὡς ὑπὸ Διονυσίου τοῦ Θρᾳκὸς [1]). „Πτώσεις δέ εἰσιν ὀνομάτων πέντε, ὀρθή, γενική, δοτική, αἰτιατικὴ καὶ κλητική. λέγεται δὲ ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖα, ἡ δὲ γενικὴ κτητικὴ καὶ πατρική, ἡ δὲ δοτικὴ ἐπισταλτική, ἡ δὲ αἰτιατικὴ κατ' αἰτίαν, ἡ δὲ κλητικὴ προσαγορευτική."

Τέσσαρας οὖν, ὡς ἐν τοῖς ἀνωτέρω δέδεικταί μοι Χρύσιππος παρεδέχετο πτώσεις. Γραπτέον οὖν ἐν τῷ παρὰ Διογένει χωρίῳ „περὶ τῶν δ' πτώσεων [2]).

Χρύσιππος τὰ ὀνόματα ταῖς πτώσεσιν ἔθετο, ὡς ὁ Lersch [3]) ὀρθῶς παρατηρεῖ. Νῦν τὰ αἴτια τῶν ὀνομάτων τούτων ἐξετάσομεν. Καὶ περὶ μὲν τοῦ ὀνόματος τῆς ὀρθῆς ἱκανῶς τὰ εἰς τὴν Γραμματικὴν τοῦ Διονυσίου τοῦ Θρᾳκὸς Σχόλια διδάσκει [4]). Ἀσφαλῶς δὲ καὶ τῶν αἰτίων τῶν ὀνομάτων τῆς δοτικῆς καὶ γενικῆς ἐχόντων, ὑπολείπεταί μοι ὀλίγα περὶ τοῦ τῆς αἰτιατικῆς ὀνόματος εἰπεῖν.

1) Bekker. Anecd. Gr. 636.

2) Ὁ Rudolf Schmidt (Stoicorum Grammatica σελ. 59, σημ. 86) οἴεται πέντε πτώσεις Χρύσιππον παραδέχεσθαι. Καὶ εἰς τὰ παρὰ Διογένει (Ζ, α, 65) καὶ τὴν κλητικὴν προστίθησιν, παρὰ Διονυσίου λαμβάνων. Οὐκ ὀρθῶς γε, οὐδαμῇ γὰρ ὡς πτῶσιν παρὰ τοῖς Στωϊκοῖς αὐτὴν εὑρίσκομεν. Ἔστι παρὰ Διογένει (Ζ, α, 67) πρότασις ὡς παράδειγμα ὑπὸ Διοκλέους ἀναφερομένη ἥτις ἐκ τριῶν κλητικῶν ἀποτελεῖται, οὐδεὶς δὲ λόγος περὶ κλητικῆς. Ἐκάλουν δὲ τὰ τοιαῦτα οἱ Στωϊκοὶ κατὰ Διοκλῆν παρὰ Διογένει πράγματα ὁρκικά (;). ἕνεκα τῆς παραφθορᾶς τοῦ ἐν λόγῳ χωρίου οὐκ ἔξεστιν πολλὰ συμπεραίνειν.

3) Sprachphilosophie d. Alten II, 185.

4) σελ. 861.

Trendelenburg *ἐν διατριβῇ περὶ τῆς αἰτιατικῆς*[1]) *ὧδε τὸ ὄνομα αὐτῆς προκύψαν λέγει· τὸ ὄνομα αἰτιατικὴ ἐκ τοῦ αἰτιατοῦ εἴληπται, ἔστιν οὖν αἰτιατικὴ ἡ πτῶσις ἥτις πεποίηται πρὸς δήλωσιν τοῦ ἀποτελέσματος τῆς ἐνεργείας τῆς ὑπὸ τοῦ ῥήματος δηλουμένης. Ἡ γνώμη αὕτη πολλοῖς οὐ πιθανὴ δοκεῖ. Ἴσμεν τὴν δοτικὴν τὸ ὄνομα αὐτῆς ἐκ τοῦ ῥήματος δίδωμι εἰληφέναι, συντάσσεται γὰρ τοῖς δόσεως σημαντικοῖς ῥήμασι. Παρὰ τοῖς ἄλλοις ῥήμασι ἡ αἰτιατικὴ καὶ τῆς αἰτήσεως σημαντικοῖς συντάσσεται οἷον·*

Μήτηρ δ' αἰτήσασα Θεοὺς περικαλλέ' ἄεθλα θῆκε[2])

„Καὶ κατηγόρει ἄλλα τε καὶ ὡς χρήματά ποτε αἰτήσας αὐτὸν καὶ οὐ τυχὼν τὴν ἔχθραν οἱ πρόθοιτο[3]).“ *Πιθανῶς οὖν ἡ πτῶσις ἡ τοῖς ῥήμασιν τούτοις συνταςσομένη ἀρχικῶς αἰτηματικὴ ἐκαλεῖτο. Τούτοις δὲ καὶ τὰ εἰς τὸν Διονύσιον Σχόλια*[4]) *συμφάσκει· „Ἡ δὲ αἰτιατικὴ κατὰ αἰτιατικὴν] (ἀνάγν. αἰτίαν ἢ αἰτίασιν) Κατὰ αἰτιασίν φησιν ἤτοι αἰτίαν, ἐπείπερ αἰτούμενοι λαβεῖν τι ἢ αἰτιώμενοι ταύτην προφερόμεθα, ὡς ἂν εἴποις* αἰτοῦμαί σε δοῦναι μοι βιβλίον· *τὸ γὰρ σὲ καὶ το βιβλίον αἰτιατικῆς εἰσι πτώσεως. καὶ πάλιν, αἰτιῶμαι Ἀρίσταρχον.“*

ΓΕΝΗ ΚΑΙ ΑΡΙΘΜΟΙ. Ὅτι Χρύσιππος γνῶσιν τῶν τριῶν γενῶν εἶχε, πάρεστιν ἐκ τοῦ ὑπ' αὐτοῦ τῷ ἄρθρῳ δοθέντι ὁρισμῷ[5]). *Ἄγνωστον ὅμως εἰ* οὐδέτερα *τὰ παρὰ*

1) Acta societatis Graecae Vol. I. Lipsiae 1836.
2) Ὀδυσ. ω, 85.
3) Θουκυδ. Η', 85.
4) σελ. 862, 25.
5) Δ. Λ. Ζ, α, 58.

Πρωταγόρᾳ σκεύη ἐκάλει. Ἀληθῶς μεν ἡ λέξις οὐδέτερον καὶ ἕτεραι παραπλήσιαι ταύτῃ[1] *ἀπαντῶσι παρὰ Στωϊκοῖς, οὐκ ἐμφανὲς ὅμως τοῦτο τεκμήριον.*

Περὶ ἀριθμῶν ἔγραψεν Χρύσιππος ἐν τῷ „περὶ τῶν ἑνικῶν καὶ πληθυντικῶν ἐκφορῶν“[2]. *Ἐν τούτῳ καὶ περὶ ἀριθμῶν τῶν ῥημάτων ὁ λόγος ἦν, ὡς δῆλον ἐκ τῶν εἰς Ἰλιάδα Σχολίων*[3].

Ῥῆμα.

Ἐν πλείστοις ἔργοις αὐτοῦ περὶ ῥήματος καὶ τῶν τούτῳ παρεπομένων ἐπραγματεύθη[4] *Χρύσιππος. Δικαίως δ' ἂν*

---

1) *Δ. Λ.* Z, *α*, 42. 62. 64. 95. 98.

2) *Δ. Λ.* Z, *ζ*, 192.

3) *Σχολ. Ἰλ. α.* 129. Dindorf. 1 *σελ.* 26 *„Δῶσι πόλιν Τρωΐην] Ζωΐλος δὲ ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητὴν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι· τὸ γὰρ δῶσί φασι πληθυντικόν. ἀγνοοῦσι δέ· ἔστι γὰρ τὸ δῷ ἑνικὸν ἐκτεταμένον, ὡς τὸ λέγῃ λέγῃσι, φέρῃ φέρῃσι. τοιοῦτόν ἐστι καὶ τὸ ἐν Ὀδυσσείᾳ* (*Λ*, 168), *τὸ „φῇσιν ἐλεύσεσθαι“, καὶ τὸ „εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδῷσιν ἔεδνα“* (*Οδ. Θ*, 318). *κἀνταῦθα γὰρ ἀποδῷ· διὸ καὶ τὸ ῑ ἔχει προσκείμενον.*

4) *Δ. Λ.* Z, *ζ*, 190 *κ. ἑ. Περὶ τῶν κατὰ χρόνους λεγομένων β', περὶ προσταγμάτων β', περὶ ἐρωτήσεως β', περὶ πεύσεως δ', Ἐπιτομὴ περὶ ἐρωτήσεως καὶ πεύσεως α', περὶ ἀποκρίσεως, Ἐπιτομὴ περὶ ἀποκρίσεως, περὶ ζητήσεως β', περὶ τῶν κατηγορημάτων πρὸς Μητρόδωρον ι', περὶ ὀρθῶν καὶ ὑπτίων πρὸς Φύλαρχον α', περὶ των συναμμάτων* (*συμβαμάτων;*) *πρὸς Ἀπολλωνίδην, πρὸς Πασύλον περὶ κατηγορημάτων. Πρβλ. καὶ* Varro de lingua latina VI, 1.

τις εἴποι, αὐτὸν τοὺς μεταγενεστέρους τῶν γραμματικῶν ὑπονοεῖν λέγοντας ἐν τοῖς περὶ ῥήματος βιβλίοις αὐτῶν „οἱ Στωϊκοί“.

Τὸν Χρυσίππου ὁρισμὸν τοῦ ῥήματος οὐκ ἔχομεν, ἀντὶ τούτου ὅμως τὸν τοῦ μαθητοῦ αὐτοῦ Διογένους· ἔστι δὲ ῥῆμα κατ᾽ αὐτὸν „μέρος λόγου σημαῖνον ἀσύνθετον κατηγόρημα“, κατ᾽ ἄλλους τῶν Στωϊκῶν „στοιχεῖον λόγου ἄπτωτον, σημαῖνόν τι συντακτὸν περί τινος ἢ τινῶν“ [1]).

Χρύσιππος τὸ ἀπαρέμφατον μόνον ἐκάλει ῥῆμα, τὸ δὲ ῥῆμ᾽ αὐτὸ (Zeitwort) *εἰς ἄλλας τῶν ἐγκλίσεων ἁπαντῶν κατηγόρημα ἢ σύμβαμα, ὡς ἔξεστιν ἐν τῷ περὶ συντάξεως Ἀπολλωνίου τοῦ Δυσκόλου ἐνιδεῖν* [2]). *„Ἅπαξ γὰρ ἐκεῖνο ἔστι διαλαβεῖν, ὡς πᾶν ἀπαρέμφατον ὄνομά ἐστι ῥήματος, εἴ γε καὶ οἱ ἀπὸ τῆς στοᾶς αὐτὸ μὲν καλοῦσι ῥῆμα, τὸ δὲ περιπατεῖ ἢ γράφει κατηγόρημα ἢ σύμβαμα καὶ ἔτι τὰς ἀπὸ τούτων ἐγκλίσεις.“*

ΚΑΤΗΓΟΡΗΜΑ ἐστι λεκτὸν ἐλλιπές, ἔστι δὲ λεκτὰ ἐλλιπῆ τὰ ἀναπάρτιστον ἔχοντα τὴν ἐκφορὰν, οἷον Γράφει, ἐπιζητοῦμεν γάρ, τίς [3]); *„Ἔστι δὲ τὸ κατηγόρημα τὸ κατά τινος ἀγορευόμενον ἢ πρᾶγμα συντακτὸν περί τινος ἢ τινῶν.“*

Εἰς τρία τὰ κατηγορήματα διῄρει [4]) *α΄) ὀρθὰ, β΄) ὕπτια καὶ γ΄) οὐδέτερα ἀντιστοιχοῦντα ταῖς σήμερον διαθέσεσι τοῦ ῥήματος. Τά τε δὲ συμβάματα καὶ παρασυμβάματα κατηγορήματα αὖθις ἐστί.*

ΣΥΜΒΑΜΑ. Συμβάματα λέγεται τὰ συμβεβηκότα τῶν

---

1) *Δ. Λ.* Ζ, *α*, 58.
2) *π. συντάξ.* 31, 5.
3) *Δ. Λ.* Ζ, *α*, 63.
4) *Δ. Λ.* Ζ, *α*, 64.

κατηγορημάτων. Εἴ τις περιπατῶν λέγοι περιπατῶ, τοῦτο σύμβαμα. εἰ δὲ καθήμενος ἢ κατακεκλιμένος, οὐ πλέον σύμβαμα. Ταῦτα κατὰ Στοβαῖον [1]). Παρὰ δὲ τῶν ὑπὸ Διογένους περὶ συμβάματος λεγομένων οὐδὲν μανθάνομεν ἕνεκα τῆς παραφθορᾶς τοῦ χωρίου.

ΠΑΡΑΣΥΜΒΑΜΑ ἐκάλει Χρύσιππος καὶ κατ' αὐτὸν καὶ οἱ μεταγενέστεροι τῶν Στωϊκῶν κατηγόρημα ἀπροσώπῳ ῥήματι συντασσόμενον [2]).

ΑΞΙΩΜΑ. Τὰ περὶ ἀξιώματος παρὰ Διογένει ἅπαντα Χρυσίππου ἐστί. Ἀξίωμα παρὰ Χρυσίππῳ ἔχει α') τὴν σημασίαν προτάσεως (Satz), ἀποτελεῖται δ' ἐκ ῥήματος καὶ ὑποκειμένου οἷον ἡμέρα ἐστί, Δίων περιπατεῖ, „καλεῖται δ' ἀξίωμα ἀπὸ τοῦ ἀξιοῦσθαι ὁ γὰρ λέγων ἡμέρα ἐστὶν ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι." β') Τὸ ἀξίωμα λαμβάνει ἔτι παρὰ Χρυσίππῳ τὴν σημασίαν τῆς ὁριστικῆς ἐγκλίσεως (modus indicativus), ὡς δῆλον ἐκ τῶν περὶ ἐγκλίσεων λεχθησομένων.

ΕΓΚΛΙΣΕΙΣ (MODI) Πλεῖστα καὶ εἰς τὰ τῶν ἐγκλίσεων ἐνεόχμωσε Χρύσιππος. Ὄνομα τῷ σήμερον ὀνόματι ἔγκλισις ἴσα σημαῖνον οὐκ ἀπαντᾷ παρ' αὐτῷ. Καὶ ἐκ μὲν τῶν συγγραμμάτων αὐτοῦ συμπεριλαμβάνων τις καὶ τὸ ἀξίωμα εἰς

1) Στοβ. Ἐκλ. Φυσ. σελ. 65 (Meineke) εἰ μὴ ὡς καὶ κατηγορήματα ὑπάρχειν λέγεται μόνα τὰ συμβεβηκότα, οἷον τὸ περιπατεῖν ὑπάρχει μοι ὅτε περιπατῶ, ὅτε δὲ κατακέκλιμμαι ἢ κάθημαι οὐχ ὑπάρχει. Ἀμμώνιος εἰς Ἀριστοτέλην (σελ. 104 Brandiss) συμβάματα καὶ κατηγορήματα ταὐτὸ σημαίνειν φησίν.

2) Ἀπολ. π. συντάξ. σ. 299 „μεταμέλει γὰρ Σωκράτει καὶ ἔτι μέλει, τῆς ὀρθῆς οὐ συνούσης, δι' ὃ καὶ παρασυμβάματα αὐτὰ ἐκάλεσαν οἱ ἀπὸ τῆς στοᾶς, τῶν ἄλλων ῥημάτων κατὰ τὰς συμβαινούσας διαθέσεις παρ' αὐτοῖς συμβαμάτων προσαγορευομένων ἢ καὶ ἔτι κατηγορημάτων."

ἕξ τὸν ἀριθμὸν τούτων δύναται ὁρίσαι· εἰσὶ δ' αὗται. Προστακτικὸν (περὶ προσταγμάτων)[1], Ἐρώτησις (περὶ ἐρωτήσεως. καὶ τούτου ἐπιτομή), Πευστικὸν (περὶ πεύσεως, καὶ τούτου ἐπιτομή), Ἀπόκρισις (περὶ ἀποκρίσεως, καὶ τούτου ἐπιτομή), Ζήτησις (περὶ ζητήσεως β'). Πρὸς τίνας ὅμως τῶν σήμερον ἐγκλίσεων αὗται ἀναλογοῦσιν, οὐ δυνατὸν λέγειν. Ἐκ τῶν λεγομένων ὅμως ὑπὸ Διοκλέους ἐν τῇ τῶν στωϊκῶν δογμάτων ἐκθέσει ταύτας τὰς ἐγκλίσεις ἀπολαμβάνομεν: ἐρώτημα, πύσμα, προστακτικὸν, προσαγορευτικὸν καὶ ἐπαπορητικόν.

Νῦν δείξωμεν ὅτι ἀξίωμα οὐδὲν ἕτερον ἢ τὸ ἀποφαντικὸν τῶν περιπατητικῶν, ἢ ἡ σήμερον ὁριστικὴ ἔγκλισις, τοῦτο δὲ ἐκ τῶν παρὰ Διογένει ὑπὸ Διοκλέους λεγομένων τεκμηριούμεθα[2]). „Διαφέρει δ' ἀξίωμα καὶ ἐρώτημα καὶ πύσμα, — καὶ πρᾶγμα ὅμοιον ἀξιώματι. Ἀξίωμα μὲν γάρ ἐστιν ὃ λέγοντες ἀποφαινόμεθα ὅπερ ἢ ἀληθές ἐστιν ἢ ψεῦδος.“

ΧΡΟΝΟΙ. Ὀλίγα μόνον τῶν ὑπὸ Χρυσίππου περὶ χρόνων λεχθέντων κατέχομεν· ἐν τούτοις δ' αὖθις μᾶλλον φιλοσοφικῶς ἢ γραμματικῶς τὰ τοῦ χρόνου ἐξετάζει.

Παρὰ Πλουτάρχου[3]) καὶ Στοβαίου[4]) μανθάνομεν αὐτὸν εἰς τρία τὸν χρόνον διῃρηκέναι· εἰς ἐνεστηκὸς, παρῳχημένον καὶ μέλλον. Περὶ χρόνου ἔργον Χρυσίππου μόνον τὸ „περὶ τῶν κατὰ χρόνους λεγομένων“[5]) ἀναφέρεται. Τὰ ἐκ Πλου-

---

1) Δ. Λ. Ζ, ζ, 191.
2) Δ, Λ. Ζ, α, 66.
3) Πλουταρχ. ἐναντ. Στωϊκ. 1323, 41 (Duebner).
4) Στοβ. Ἐκλ. Φυσ. (Meineke) σελ. 260.
5) Δ. Λ. Ζ, ζ, 190.

τάρχου καὶ Στοβαίου ἀνωτέρω παρατεθέντα μοι χωρία ἐκ τοῦ „περὶ κενοῦ“ συγγράμματος αὐτοῦ ἐλήφθη.

Σύνδεσμος.

Μετὰ μεγίστης πιθανότητος ἔξεστιν εἰπεῖν ὅτι Χρύσιππος πρῶτος ἀσφαλῶς τὴν τοὺς συνδέσμους ἀπὸ τῶν ἄρθρων χωρίζουσαν γραμμὴν ἐχάραξεν. Οὐδὲν γὰρ ἔργον τῶν πρὸ αὐτοῦ Στωϊκῶν περὶ συνδέσμων ἀναφέρεται.

Σύνδεσμος κατὰ Χρύσιππον μέρος λόγου ἄπτωτον συνδοῦν τὰ μέρη τοῦ λόγου.

Ὡς δῆλον ἐκ τῶν παρὰ Διογένει λεγομένων καὶ ὀνόματά τισι τῶν συνδέσμων ἔθετο [1]) „τῶν δ' οὐχ ἁπλῶν ἀξιωμάτων συνημμένον μέν ἐστιν ὡς ὁ Χρύσιππος ἐν ταῖς διαλεκτικαῖς φησι καὶ Διογένης ἐν τῇ διαλεκτικῇ τέχνῃ, τὸ συνεστὸς διὰ τοῦ Εἰ συναπτικοῦ συνδέσμου. ἐπαγγέλλεται δ' ὁ σύνδεσμος οὗτος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ, οἷον Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι.“ Παρὰ Διογένει τοὺς ἑξῆς συνδέσμους μανθάνομεν Χρυσίππῳ γνωστοὺς γεγονέναι.

α') συναπτικούς.
β') παρασυναπτικούς.
γ') συμπλεκτικούς [2]).
δ') διαζευκτικούς [3]).

---

1) Δ. Λ. Ζ, α, 58.

2) Δ. Λ. Ζ, α, 72 συμπεπλεγμένον δέ ἐστιν ἀξίωμα, ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπλέκεται, οἷον Καὶ ἡμέρα ἐστὶ καὶ φῶς ἐστι.

3) „Διεζευγμένον δέ ἐστιν ὃ ὑπὸ τοῦ Ἤτοι διαζευκτικοῦ συνδέσμου διέζευκται, οἷον Ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν.“

ε') αἰτιολογικούς [1]).

ϛ') διασαφητικοὺς τοῦ μᾶλλον [2]).

ζ') διασαφητικοὺς τοῦ ἧττον [3]).

η') ἀποφατικούς [4]).

ϑ') προθετικούς, οἳ ἴσως Χρυσίππῳ γνωστοὶ ἐτύγχανον [5]).

Ἄρθρον.

Ὡς ἔνεστιν ἐκ τῶν παρὰ Διογένει συμφραζομένων νοῆσαι ὁ τοῦ ἄρθρου ὁρισμὸς ἐκ τῶν τοῦ Βαβυλωνίου ἐλήφθη συγγραμμάτων ἢ ὅπερ ταὐτὸν Χρυσίππου [6]). Εἴδομεν γὰρ Διογένην ἀεὶ τῷ διδασκάλῳ ἑπόμενον καὶ ταῖς γνώμαις αὐτοῦ ἐμμένοντα· ὧδε δ' ὁ ὁρισμὸς ἔχει [7]). „Ἄρθρον δέ ἐστιν στοιχεῖον λόγου πτωτικόν, διορίζον τὰ γένη τῶν ὀνομάτων καὶ τοὺς ἀριθμούς, οἷον ὁ ἡ τὸ οἱ αἱ τά." Ἀπολλώνιος

---

1) „Αἰτιῶδες δέ ἐστιν ἀξίωμα τὸ συντασσόμενον διὰ τοῦ Διότι, οἷον Διότι ἡμέρα ἐστί, φῶς ἐστιν. οἱονεὶ γὰρ αἴτιον τὸ πρῶτον τοῦ δευτέρου."

2) „Διασαφοῦν δὲ τὸ μᾶλλον ἀξίωμά ἐστι τὸ συνταττόμενον ὑπὸ τοῦ διασαφοῦντος συνδέσμου καὶ μεταξὺ τῶν ἀξιωμάτων τασσομένου, οἷον Μᾶλλον ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν."

3) „Διασαφοῦν δὲ τὸ ἧττον ἀξίωμά ἐστι τὸ ἐναντίον τῷ προκειμένῳ, οἷον Ἧττον νύξ ἐστιν ἢ ἡμέρα ἐστίν."

4) „Ἔτι τῶν ἀξιωμάτων κατά τ' ἀλήθειαν καὶ ψεῦδος ἀντικείμενα ἀλλήλοις ἐστίν, ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἐστὶν ἀποφατικόν, οἷον τὸ Ἡμέρα ἐστὶ καὶ τὸ οὐχ ἡμέρα ἐστί."

5) Ἀπολ. π. συντάξ. 325, 23. Ἀπολ. π. συνδ. ἐν Bek. An. Gr. 480 πρβλ. καὶ Prisc. II σελ. 67.

6) Rudolf Schmidt de Stoicorum Grammatica σελ. 39.

7) Δ. Λ. Ζ, α, 58.

κολάζει τὸν ὁρισμὸν τοῦτον ἐν τοῖς περὶ συντάξεως[1]) *τοῖσδε τοῖς λόγοις. „Οὐ μετρίως δέ τινες ἐσφάλησαν ὑπολαβόντες τὴν παράθεσιν τῶν ἄρθρων εἰς γένους διάκρισιν παρατίθεσθαι τοῖς ὀνόμασιν.“*

Τὰς ἀντωνυμίας Χρύσιππος ὡς καὶ οἱ λοιποὶ Στωϊκοὶ τοῖς ἄρθροις συμπεριλαμβάνοντες[2]) *ὡρισμένα ἄρθρα, τὰ δὲ σήμερον ἄρθρα καλούμενα ἀόριστα ἐκάλουν ὡς Πρισκιανός φησιν. Ταὐτὰ καὶ Ἀπολλώνιος*[3]) *οὐχ ὅμως καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς*[4]). *„οἱ δὲ μετ᾽ αὐτοὺς (Θεοδέκτην καὶ Ἀριστοτέλην) γενόμενοι, καὶ μάλιστα οἱ τῆς Στωϊκῆς αἱρέσεως ἡγεμόνες ἕως τεττάρων προὐβίβασαν, χωρίσαντες ἀπὸ τῶν συνδέσμων τὰ ἄρθρα. Εἶθ᾽ οἱ μεταγενέστεροι τὰ προσηγορικὰ διελόντες ἀπὸ τῶν ὀνοματικῶν, πέντε ἀπεφήναντο τὰ πρῶτα μέρη. Ἕτεροι δὲ καὶ τὰς ἀντωνυμίας ἀποζεύξαντες ἀπὸ τῶν ὀνομάτων ἕκτον στοιχεῖον ἐποίησαν“ Παντὶ δῆλον ὅτι ταῦτα τοῖς τε παρὰ Διογένει, Ἀπολλωνίῳ καὶ Πρισκιανῷ ἄντικρυς ἐστι. ὡς γὰρ ἐν τοῖς ἀνωτέρω ἐλέχθη, αἱ ἀντωνυμίαι ἐν τοῖς ἄρθροις ὑπὸ Χρυσίππου συγκατηριθμοῦντο. Πρὸς ὀρθὴν οὖν τοῦ χωρίου κατάληψιν δύο τρόποι ὑπάρχουσιν, ἢ ἀντὶ τοῦ ὀνομάτων ἄρθρων ἀναγνῶσαι ἢ ἀναγιγνώσκειν κατὰ τὴν παραδεδομένην γραφὴν, παραδέχεσθαι δὲ ὅτι οὐχ ἅπασαι αἱ ἀντωνυμίαι ὑπὸ Χρυ-*

---

1) 23, 17.

2) Prisc. II, 67 Articulis autem pronomina connumerantes (sc. Stoici) finitos ea articulos appellabant, ipsos autem articulos, quibus nos caremus infinitos articulos dicebant.

3) *π. συντάξ.* 68, 15 *Ὁ δειπνήσας παῖς κοιμάσθω, ἐφ᾽ οὗ ἀοριστώδης ἡ σύνταξις γίνεται τοῦ ἄρθρου, ἔνθεν καὶ οἱ ἀπὸ τῆς στοᾶς τὰ τοιαῦτα μόρια ἀοριστώδη ἐκάλεσαν.*

4) *περὶ συνθέσεως λέξεων β΄.* Goeller *σελ.* 10.

σίππου ἐν τοῖς ὡρισμένοις ἄρθροις συγκατηριθμοῦντο, ἴσως αἱ δεικτικαὶ ἐν ταῖς προσηγορίαις συμπεριελαμβάνοντο. Τῆς δὲ τοιαύτης τῶν ἀντωνυμιῶν διαιρέσεως ἐν τοῖς ἑξῆς λόγοις Διοκλέους παρὰ Διογένει [1]) ἴχνη εὑρίσκομεν. „καταγορευτικὸν δέ ἐστι (ἀξίωμα) τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς δεικτικῆς καὶ κατηγορήματος, οἷον Οὗτος περιπατεῖ" Τοῦτο μέντοι οὐδαμῶς βέβαιον, ἀλλὰ τῇ παραδοχῇ ταύτῃ ἐξηγεῖται τις τὰ παρὰ Διονυσίῳ κείμενα.

Μετὰ μεγίστης ὅμως βεβαιότητος ἀποφαίνομαι μὴ απάσας τὰς ἀντωνυμίας ὡρισμένα ἄρθρα κεκλῆσθαι, πᾶς δὲ ὁ τὰ τοῦ Διοκλέους ἀναγιγνώσκων περὶ τῆς ἀληθείας τούτων πεισθήσεται [2]). „ἀόριστον δέ ἐστι ἀξίωμα τὸ συνεστὸς ἐξ ἀορίστου μορίου ἢ ἀορίστων μορίων, οἷον τὶς περιπατεῖ, ἕκαστος [3]) κινεῖται." Αἱ ἀντωνυμίαι οὖν τὶς καὶ ἕκαστος ἀόριστα μόρια καλοῦνται.

Ἐν δυοῖν τῶν ἔργων αὐτοῦ Χρύσιππος περὶ τῶν στοιχείων τοῦ λόγου ἐπραγματεύθη, ἦν δὲ ταῦτα: „περὶ τῶν στοιχείων τοῦ λόγου πρὸς Νικίαν α'" καὶ „περὶ τῶν στοιχείων τοῦ λόγου καὶ τῶν λεγομένων" [4]).

---

1) Δ. Λ. Ζ, α, 70.

2) Δ. Λ. αὐτόθι.

3) Ἡ κοινῶς παραδεδεγμένη γραφή ἐστιν: „οἷον τὶς περιπατεῖ ἐκεῖνος κινεῖται." Καὶ ἡ μὲν τὶς ὀρθῶς ἐν τοῖς ἀορίστοις μορίοις συγκαταλέγεται, ἀλλὰ πῶς ἄν τις καὶ τὴν ἐκεῖνος (ἥν ἴσως Χρύσιππος ἐν ταῖς προσηγορίαις συγκατηρίθμει) ἐν τοῖς ἀορίστοις μορίοις συμπεριλάβοι. Πῶς ἐστι δυνατὸν ὁ αὐτὸς Διοκλῆς ὁ λέγων τὴν οὗτος πτῶσιν ὀρθὴν δεικτικήν, τὴν ἐκεῖνος ἀόριστον καλεῖν ὡς οὖν ἐγὼ εἰκάζω ἕκαστος κινεῖται ἡ ἀρχικὴ γραφὴ ἦν.

4) Δ. Δ. Ζ, ζ, 192. 193.

Ἀναλογία καὶ Ἀνωμαλία τῆς γλώσσης παρὰ Χρυσίππῳ.

Φύσει τὸν ὀρθὸν λόγον ἐβούλετο Χρύσιππος ὡς ἔνεστιν ἐν τοῖς ἑξῆς παρὰ Διογένει ἐνιδεῖν [1]. *„Φύσει τε τὸ δίκαιον εἶναι καὶ μὴ θέσει, ὡς καὶ τὸν νόμον καὶ τὸν ὀρθὸν λόγον, καθά φησι Χρύσιππος ἐν τῷ περὶ καλοῦ“ Τίς ὅμως ὁ ὀρθὸς οὗτος λόγος; Φέρε πρῶτον παρὰ τοῖς πρὸ τῶν Στωϊκῶν ἴδωμεν, καὶ δὴ παρὰ Πλάτωνι* [2]. *„Τὸ ὀρθῶς λέγειν διαιρεῖται εἰς τέτταρα· ἓν μὲν ἃ δεῖ λέγειν, δεύτερον δὲ ὅσα δεῖ λέγειν, τρίτον πρὸς οὓς δεῖ λέγειν, τέταρτον δὲ πηνίκα δεῖ λέγειν. „Ἔστιν οὖν ὀρθὸς λόγος κατὰ Πλάτωνα ὁ κατὰ πάντα τέλειος, οὐδ' ὅλως δ' ἀπίθανον ταὐτὸ καὶ Χρύσιππος τῷ ὀρθὸς λόγος σημαίνεσθαι ἐβούλετο. Ἀλλ' εἶτα καὶ παρὰ Στωϊκοῖς* [3] *ἔτι τὸ ὀρθὸς πρὸς ἀντίθεσιν τοῦ πλάγιος καὶ ὕπτιος ἀπαντᾷ. Οὐδαμῶς ὅμως τοῖς εἰρημένοις ἐρειδόμενοι εἴποιμεν ἂν τὸν Χρύσιππον ἀναλογητικὸν γενέσθαι, τοῦτο δὲ ἐκ τοῦ περὶ ἀνωμαλίας ἔργου αὐτοῦ* [4] *δῆλον, ἐξ οὗ κατὰ Βάρρωνα* [5] *πολλὰ Κράτης ὁ Περγαμηνὸς κατὰ τοῦ ἐχθροῦ αὐτοῦ Ἀριστάρχου ἤντλει.*

---

1) *Δ. Λ.* Ζ, α, 128.

2) *Δ. Λ. Γ*, 94. Ζ, ζ, 191.

3) *Χρυσίππου ἔργον „περὶ ὀρθῶν καὶ ὑπτίων πρὸς Φύλαρχον“ Δ. Λ.*

4) *Δ. Λ.* Ζ, ζ, 192.

5) Varro d. l. l. IX, 1 *Οἱ τὸ ἔργον τοῦτο „περὶ ἀνωμαλίας“ ἀναφέροντες παρατηροῦσι συνήθως ὅτι ὁ μὲν Διογένης τέσσαρα, ὁ δὲ Βάρρων ἓξ βιβλία τούτου ἀναφέρει. Οἶμαι τὸ ὑπὸ Βάρρωνος ἀναφερόμενον περὶ ἀνωμαλίας εἰς ϛ' βιβλία διάφορον τοῦ ὑπὸ Διογένους μνημονευομένου „περὶ τῆς κατὰ τὰς λέξεις ἀνωμαλίας*

Τεκμήριον ἔτι ὅτι Χρύσιππος οὔτε καθαρῶς ἀνωμαλίαν οὔθ' ὅμως καὶ ἀναλογίαν ἀπεξεδέχετο, δῆλον ἐκ τῶν περὶ συνηθείας δύο ἔργων αὐτοῦ, ὧν τὸ μὲν „κατὰ τῆς συνηθείας" τὸ δὲ „ὑπὲρ τῆς συνηθείας" [1]) *ἐπιγράφεται.*

Ἐτυμολογίαι Χρυσίππου.

Πλεῖσται τῶν ἐτυμολογιῶν Χρυσίππου μάλιστα δὲ τῶν τῶν θεῖν ὀνομάτων ἐν ἔργοις μεταγενεστέρων εὑρίσκονται. Τοιαῦται ἀπαντῶσιν ἐν τῷ Ἐτυμολόγῳ· ἐκ τῆς ὑφισταμένης δὲ ὁμοιότητος τῶν ἐν τούτῳ καὶ ἄλλων ἐν ἑτέροις ἔργοις εὑρισκομένων ὁδηγούμενοι, πλείστας ἔτι ἐτυμολογίας τῷ Χρυσίππῳ ἀποδοῦναι δικαιούμεθα.

Τοιοῦτον ἔργον ἐκ τοῦ τοῦ Χρυσίππου „περὶ θεῶν" [2]) *ἔργου πηγάσαν ἀναφέρομεν τὸ τοῦ Ῥωμαίου Ἀνναίου Κορνούτου ἑλληνιστὶ περὶ τῆς τῶν θεῶν φύσεως γράψαντος, ἔτι δὲ τὸ τελευταῖον κεφάλαιον τοῦ ψευδαριστοτελείου ἔργου περὶ κόσμου* [3]). *Ὅτι δ' ἐν τούτοις πλεῖστα Χρυσίππου ὑπολανθάνει τὰ κατωτέρω χωρία δείξουσιν.*

Χρύσιππος παρ' Εὐσεβίῳ [4]).

„Διὸ δὴ καὶ Ζεὺς λέγεται ὁ κόσμος ἐπειδὴ τοῦ ζῆν αἴτιος ἡμῖν ἐστί," Ψευδαριστοτέλης ἐν τῷ „περὶ κόσμου" [5]).

πρὸς Δίωνα δ'." Περὶ τοῦ ἀριθμοῦ τῶν βιβλίων Πρβλ. καὶ Baguet *ἐν* „Annales Lovanienses" 1820—21 vol. IV *σελ.* 131 § LIX.

1) *Δ. Λ.* Ζ, ζ, 198.

2) *Δ. Λ.* Ζ, *α*, 148.

3) Osann, Beiträge zur griech. und röm. Litteratur I, *σ.* 144.

4) *Προπαρ. Εὐαγ.* 817 d. Gdf.

5) *Κεφαλ.* Ζ'.

„Καλοῦμεν δ᾽ αὐτὸν καὶ Ζῆνα καὶ Δία, παραλλήλως χρώμενοι τοῖς ὀνόμασιν, ὡς ἂν εἰ λέγοιμεν δι᾽ ὃν ζῶμεν.“

Κορνοῦτος ἐν τῷ „περὶ τῆς τῶν θεῶν φύσεως“ [1]).

„Ὥσπερ δὲ ἡμεῖς ἀπὸ ψυχῆς διοικούμεθα, οὕτω καὶ ὁ κόσμος ἔχει τὴν συνέχουσαν αὐτὸν, καὶ αὕτη καλεῖται Ζεύς. πότερον διὰ τὸ σώζουσα καὶ αἰτία οὖσα τοῖς ζῶσι τοῦ ζῆν, διὰ τοῦτο βασιλεὺς ὁ Ζεὺς λέγεται τῶν ὅλων. —“

Χρύσιππος ἐν τῷ Μεγ. Ἐτυμ. [2]).

„Ἀλάστωρ: Ὁ ἁμαρτωλὸς, ἢ ὁ φονεὺς, ἢ ὁ ἐμφορῶν τοὺς φόνους Ζεύς. Κατὰ μὲν Χρύσιππον τὸν φιλόσοφον, ἐπὶ τοῦ ἁμαρτωλοῦ καὶ φονέως, ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος τοῖ ἐλαύνεσθαι διὰ φόνον. —“

Κορνοῦτος [3]).

„Λέγεται δὲ ὑπό τινων καὶ ἀλάστωρ καὶ παλαμναῖος, τῷ τοὺς ἀλάστορας καὶ παλαμναίους κολάζειν.“

Χρύσιππος παρ᾽ Εὐσεβίῳ [4]).

„Ἀδράστειαν δὲ (ἐκάλεσαν), ὅτι οὐδέν ἐστιν αὐτὸν (ἐν Διὰ) ἀποδιδράσκειν.“

Ψευδαριστοτέλης [5]).

„Ἀδράστειαν δ᾽ ἀναπόδραστον αἰτίαν οὖσαν.“

Κορνοῦτος [6]).

---

1) σελ. 59.
2) 57, 26.
3) σελ. 61.
4) 817.
5) κεφ. Ζ'.
6) σελ. 62.

„*Αὕτη δέ ἐστι καὶ ἀδράστεια. ἤτοι παρὰ τὸ ἀνέκφευκτος καὶ ἀναπόδραστος εἶναι* [1].“

Γνωστὸν ἔτι τυγχάνει ὅτι καὶ Κικέρων ἐν τῷ περὶ τῆς τῶν θεῶν φύσεως πολλὰ παρὰ Χρυσίππου παρέλαβεν.

Διδάσκω [2]: . . . . . . *Ἡρωδιανὸς δὲ λέγει, ὅτι Χρύσιππός φησι παρὰ τὸ ἀσκεῖν, τὸ σημαῖνον τὸ διδάσκειν τι, ἀσκῶ, διάσκω· καὶ ἐπενθέσει τοῦ Δ, διδάσκω. ἀπὸ δὲ τοῦ διδάσκω, διδάσκαλος, ὡς ἴξω ἴξαλος.*

Κορυθάλη [3]: *Ἡ πρὸ τῶν θυρῶν δάφνη τιθεμένη. ὅτι οἱ κλάδοι (οὓς κόρους καλοῦσι) θάλλουσιν, ὡς καὶ Χρύσιππος·*

Ἀλλὰ δᾶδας ἡμμένας μοι ταχὺ δότω τὶς ἔνδοθεν
καὶ κορροὺς πλεκτοὺς ἀκραιπνεῖς μυρρίνης.

Ἀμφίβολον ὅμως ἐν τῷ χωρίῳ τούτῳ τὸ ὄνομα Χρύσιππος. Hemsterhusius *ἐν τῷ εἰς τὸν Ἀριστοφάνειον Πλοῦτον ὑπομνήματι αὐτοῦ* [4] *Στράττις διορθοῖ,* Meineke *δὲ Λύσιππος ἀντὶ Χρύσιππος ἀναγιγνώσκει* [5].

Παλαιστή [6]: . . . . . *Ὡς δὲ Χρύσιππος διὰ τὸ σπᾶσθαι τὴν ὅλην χεῖρα.*

Τελετή [7]: *Χρύσιππος δέ φησι, τοὺς περὶ τῶν θείων*

---

1) *Πρβλ. ἔτι Χρύσιππον ἐν Μεγ. Ἐτυμ.* 701, 24. *Κορν. σελ.* 60. — *Χρύσιππον παρ' Εὐσεβίῳ* 263 c. *Κορνοῦτον σελ.* 62. *Ψευδαριστοτέλην κεφ. Ζ'.*

2) *Μεγ. Ἐλ.* 272, 18.

3) *Αὐτόθι* 531, 53.

4) *στ.* 1195.

5) Meineke fragmenta. Com. Graecorum Tom. II, p. 748.

6) *Μεγ. Ἐλ.* 647, 37.

7) *Μεγ. Ἐτ.* 751, 16.

λόγους εἰκότως καλεῖσθαι τελετάς· χρῆναι γὰρ τούτους τελευταίους καὶ ἐπὶ πᾶσι διδάσκεσθαι.

Τὸν Μαίσωνα ἀπὸ τοῦ μασᾶσθαι ᾤετο Χρύσιππος κεκλῆσθαι ὡς παρ' Ἀθηναίῳ [1] *ἀναγιγνώσκομεν „Χρύσιππος δ' ὁ φιλόσοφος τὸν Μαίσωνα ἀπὸ τοῦ μασᾶσθαι οἴεται κεκλῆσθαι, οἷον τὸν ἀμαθῆ καὶ πρὸς γαστέρα νενευκότα, ἀγνοῶν ὅτι Μαίσων γέγονε κωμῳδίας ὑποκριτὴς Μεγαρεὺς τὸ γένος, ὃς καὶ τὸ προσωπεῖον εὗρε τὸ ἀπ' αὐτοῦ καλούμενον μαίσωνα."*

Ἔτι παρ' Ἀθηναίῳ [2] *„καὶ ὁ θαυμασιώτατος δὲ Χρύσιππος τὴν ὀνομασίαν φησὶ λαβεῖν τὰ μύρα ἀπὸ τοῦ μετὰ πολλοῦ μόρου καὶ πόνου ματαίου γενέσθαι."*

Τὴν λέξιν αἰῶνα ἐκ τοῦ ἀεὶ ὂν αὐτὸν ἐτυμολογηκέναι παρὰ Βάρρωνος μανθάνομεν. „Quod Graeci *αἰῶνα*, id ait Chrysippus esse *ἀεὶ ὄν*" [3].

Ὁ ἐν τοῖς εἰς Πίνδαρον Σχολίοις ἀναφερόμενος Χρύσιππος.

Ἐν τοῖς Πινδαρικοῖς Σχολίοις πολλαχοῦ, ἰδίως δ' ἐν τοῖς εἰς τὰ Ἴσθμια μνεία Χρυσίππου τινος γίνεται. Boeckh, *ὡς καὶ οἱ τὰ τοῦ Λυρικοῦ Σχόλια ἐκδόντες ἡγοῦνται Χρύσιππον τουτονὶ τὸν Στωϊκὸν εἶναι. Παρ' οὐδενὸς ὅμως οὔτε παρὰ Διογένους οὔτε παρὰ Σουΐδα μανθάνομεν Χρύσιππον τὸν Στωϊκὸν ὑπόμνημα εἰς Πίνδαρον γεγραφέναι, ἔτι δ' οὐθ'*

1) *Ἀθην. ΙΔ*, 659.
2) *Ἀθην. ΙΕ*, 686.
3) Varro de l. l. VI § 11.

ὑποδεῖξαι ἓν τῶν ἀναφερομένων ἔργων αὐτοῦ οἷοι τ' ἐσμὲν ἐν ᾧ πιθανῶς ὁ Χρύσιππος περὶ Πινδάρου λόγον ἐποιεῖτο.

Ὡς ἐκ τῶν Σχολίων δῆλον Χρύσιππος οὑτοσὶ οὐ μόνον ἐπὶ ταῖς μυθολογικαῖς καὶ ἱστορικαῖς ἐξηγήσεσιν ἠρκέσθη, ἀλλ' ἔτι καὶ διορθώσεις γραφῶν [1] *ἐπιφέρει. Ἐχρῆτο δ' ἐκδόσει Πινδάρου σημεῖα ἐχούσῃ, ὡς ἐκ τοῦ ἑπομένου Σχολίου δῆλον* [2]*. „Χρύσιππος δέ, σεσημείωται* [3]*, φησίν, ὁ τόπος διὰ τὴν φράσιν· τὸ γὰρ ἐναντίον βούλεται εἰπεῖν· τῶν ἀπειράτων καὶ ἀπράκτων ἄγνωστοί εἰσιν αἱ λαλιαί, ὅ ἐστιν, ἄν τις μὴ πειραθῇ πραγμάτων καὶ παθῶν οὗτος ἀκλεὴς γίνεται."*

Εἴ τις νῦν Χρύσιππον τοῦτον τὸν Στωϊκὸν βούλεται εἶναι ἀναγκαίως χρὴ τοῦτον παραδέχεσθαι, τὸν τὴν ἔκδοσιν ταύτην ποιησάμενον οὐδέν' ἕτερον ἢ Ἀριστοφάνην τὸν Βυζάν-

---

1) *Σχολ. εἰς Ἰσθμ. Α', 96 Εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον ἄλλοισι δ' ἐμπίπτων γελᾷ. — Χρύσιππος δὲ γράφει Ἀλαοῖσιν, ἐξ οὗ σημαίνεται τυφλοῖς, ἐπειδὴ ὁ πλοῦτος τυφλός· ἡ γραφὴ ὅμως αὕτη ἀλαοῖσιν, ἄντικρυς τοῖς διατάγμασι τῆς Μετρικῆς· ἀντιβακχείου (– ́ ◡) γὰρ ἐνταῦθα καὶ οὐκ ἀναπαίστου δεόμεθα.*

2) *Σχολ. Ἰσθμ. Γ', (Δ') 47.*

3) Boeckh (Pindar II. Band pag. XII, XXXIV *„ὑπονοεῖ σεσημείωται σημείῳ Χ" τεκμηριοῦται δὲ τοῦτο ἐκ τοῦ Σχολ. Ἰσθμ. ε' (ϛ')* 47 *„ταῦτα ἀπήρτισται τὸ κατάλληλον οὐκ ἔχοντα, ἃ δὴ ὁ Ἀρίσταρχος σημειοῦται. καί εἰσιν οἳ κεχίασθαι φασὶν, ὅτι ἰδίως ἐπιβέβληκεν ὡς ἐν διαστολῇ τοῦ οὐκ ἐφείσατο. „Κατὰ* Lehrs *ὅμως* (Die Pindarscholien, eine kritische Untersuchung zur philologischen Quellenkunde s. 106) *ἐν τῷ χωρίῳ τοῦτο οὐ σημαίνει" σεσημειωμένον τῷ σημείῳ Χ", ἀλλ' ὑποδείκνυσιν τὸ ῥητορικὸν τοῦ Χιασμοῦ σχῆμα. Τῇ γνώμῃ τοῦ* Boeckh *ἕπεται καὶ* Osann (*ἴδ.* Osann Anecdotum Romanum s. 186).

τιον εἶναι· καὶ τοῦθ' ὅμως χρονολογικῶς πράγματα παρέχει, γέγονεν γὰρ Χρύσιππος εἴκοσιν ἔτη πρεσβύτερος Ἀριστοφάνους.

Boeckh *ἀποφαίνεται τὸν Χρύσιππον τουτονὶ μηδέν' ἂν ἕτερον εἶναι ἢ τὸν Στωϊκόν· τοῦτο δὲ ἐκ τοῦ ἑξῆς εἰς τὰ Ἴσθμια Σχολίου* [1]) *τεκμαίρεται. „Χρήματα, χρήματ' ἀνὴρ, τοῦτο ἀναγράφεται εἰς τὰς παροιμίας ὑπ' ἐνίων, ἀπόφθεγμα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ „περὶ παροιμιῶν" οὐκ ἀσφαλὲς ὅμως τοῦτο τεκμήριον. Κατάδηλον ὅτι ὁ ἐν τῷ ἄνω Σχολίῳ ἀναφερόμενος Χρύσιππος οὐδεὶς ἕτερος ἢ ὁ Στωϊκός, οὐχ ὅμως ἀναγκάζει τινὰ τοῦτο τῷ* Boeckh *ἕπεσθαι· ἁπλῶς γὰρ ὁ τὸ Σχόλιον τοῦτο ἐπενεγκὼν ἀνεμνήσθη Χρυσίππου, λέγοντος ἐν τῷ περὶ παροιμιῶν ἐπιγραφομένῳ ἔργῳ αὐτοῦ* [2]), *ὅτι τὸ „Χρήματα χρήματ' ἀνὴρ" οὐ παροιμία, ἀλλ' ἀπόφθεγμ' Ἀριστοδήμου.*

Νῦν αὖθις ἐπὶ τὸ Σχόλιον ἐν ᾧ ἡ τοῦ Χρυσίππου ἀτυχὴς διόρθωσις εὑρίσκεται [3]). *Πῶς Δίδυμος ὁ Χαλκέντερος ἐπικληθεὶς τὴν ἐσφαλμένην ταύτην γνώμην ἄνευ οὐδεμιᾶς παρατηρήσεως καὶ ἐπικρίσεως πάρεισιν. Ὡς ἐμοὶ δοκεῖ ἔξεστιν ἐκ τούτου εἰκάσαι, Χρύσιππον τὸν ἐν τοῖς Πινδαρικοῖς Σχολίοις ἀναφερόμενον, μετὰ Δίδυμον γεγονέναι. Ἡ δ' εἰκασία αὕτη ἐπιρρώννυται τῇ σιωπῇ ᾗ χρῶνται ἅπαντες οἱ τὰ Χρυσίππου τοῦ Στωϊκοῦ γράψαντες. ὡς γὰρ καὶ ἐν τοῖς ἄνω ἐλέχθη, οὐδεὶς αὐτῶν Χρυσίππου εἰς Πίνδαρον μελέτας ἀναφέρει. Ὅτι δ' αἱ μελέται Χρυσίππου τούτου ἀξίαν παρὰ τοῖς μεταγενεστέροις τῶν ὑπομνηματιστῶν εἶχον δῆλον ἐκ*

---

1) *Σχολ. Ἰσθμ. Β*, 17.
2) *Δ. Λ. Ζ, ζ*, 200.
3) *Σχολ. Ἰσθμ. Α*, 96.

τοῦ ὅτι, μετὰ Διδύμου ἐν τοῖς Σχολίοις μνεία αὐτοῦ γίγνεται [1]. *Πῶς οὖν ὑπόμνημα γραμματικοῦ ἐν ἴσῃ μοίρᾳ τῷ Διδύμῳ τιθεμένου σιωπῇ ἂν οἱ τὰ τοῦ βίου αὐτοῦ γράψαντες παρεῖεν;*

---

1) *Ἰσθμ. Α*, 67 „*Μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε*] *τῷ τὰ μῆλα νέμοντι, τῷ ποιμένι καὶ τῷ τὴν γῆν ἀροῦντι, καὶ τῷ τὰς ὄρνεις θηρεύοντι, καὶ ὃν πόντος τρέφει· Χρύσιππος τὸν ἔμπορον, Δίδυμος δὲ τὸν ἁλιέα.*

Τέλος.

JUN 22 '64 H
285-850

Gc 21.5
Chrysippos grammatikos.
Widener Library 004619025
3 2044 085 107 019